1. ***χαλεπαίνω τινί***: ljutim se na, v. str. 8. b. 9. — 2. ***εἰδότας***: premda su znali. — 3. ***ἐάν***: v. str. 2. b. 8. — ***τοῖς προτέροις ἀναβᾶσι***: onima, koji su ono prije pošli, v. str. 13. b. 2. (καί) i str. 5. b. 2. (ἑκών). — ***μετά***: v. str. 8. b. 14. — 6. ***πέντε μνᾶς***: 393 K, mina = 78·60 K. — ***ἐπάν***: v. str. 5. b. 9. (πρὶν ἄν). — 7. ***ἐντελής***: potpun, cio. — ***μέχρι ἄν***: dogod ne dovede natrag, v. str. 5. b. 9.; na povratku se inače nije najamnicima davala plaća. — 8. ***τὸ πολὺ τοῦ***: većina helenske vojske. — ***ἐπείσθη***: dade se skloniti.

9. ***Μένων***: v. str. 6. b. 7. — ***πρὶν εἶναι***: prije nego je bilo očevidno; πρίν se slaže s inf. ili s ak. i inf., ako je glavna rečenica pozitivna. — 10. ***πότερον — ἤ***: da li — ili. — ***χωρὶς τῶν ἄλλων***: obaška bez ostalih. — 11. ***οὔτε***: ne ćete imati ni pogibli ni mukâ, a cijenit ćete se od Kira više no. — 12. ***τῶν ἄλλων***: spoji sa στρατιωτῶν. — ***προτιμήσεσθε***: s pas. značenjem. — 13. ***δεῖται ἕπεσθαι***: moli, da. — 15. ***ἀποκρίνομαι***: odgovaram. — ***ἤν***: ἐάν. — 16. ***ψηφίζομαι***: odlučujem (glasovanjem). — ***αἴτιος***: kriv; da ste vi uzrok. — ***ἄρξαντες τοῦ***: jer ste prvi prelazili; ἄρχω τοῦ διαβαίνειν: prvi prelazim; ἄρχομαι διαβαίνων: počinjem prelaziti. — 17. ***ὡς — οὖσιν***: vama će, kao da ste najspremniji. — ***χάριν οἶδα καὶ ἀποδίδωμι***: zahvalan sam i vraćam milo za drago. — 18. ***ἐπίσταται***: dopuni χάριν εἰδέναι. — ***εἴ τις***: ako itko drugi. — ***ἀποψηφίσωνται***: ako odluče, da ne će ići. — 19. ***ἄπιμεν τοὔμπαλιν*** (τὸ ἔμπαλιν): vratit ćemo se. — ***ὡς***: kao. — ***εἰς φρούρια***: za posade (u tvrđavama).

φρούρια καὶ εἰς λοχαγίας, καὶ ἄλλου, οὗτινος ἂν δέησθε, οἶδα ὅτι ὡς φίλοι τεύξεσθε Κύρου". ἀκούσαντες ταῦτα ἐπείθοντο καὶ διέβησαν, πρὶν τοὺς ἄλλους ἀποκρίνασθαι. Κῦρος δ᾽ ἐπεὶ ᾔσθετο διαβεβηκότας, ἥσθη τε καὶ τῷ στρατεύματι πέμψας Γλοῦν εἶπεν· „Ἐγὼ μέν, ὦ ἄνδρες, ἤδη ὑμᾶς ἐπαινῶ· ὅπως δὲ καὶ ὑμεῖς ἐμὲ ἐπαινέσετε, ἐμοὶ μελήσει, ἢ μηκέτι με Κῦρον νομίζετε". οἱ μὲν δὴ στρατιῶται ἐν ἐλπίσι μεγάλαις ὄντες ηὔχοντο αὐτὸν εὐτυχῆσαι, Μένωνι δὲ καὶ δῶρα ἐλέγετο πέμψαι μεγαλοπρεπῶς.

Ταῦτα δὲ ποιήσας διέβαινε· συνείπετο δὲ καὶ τὸ ἄλλο στράτευμα αὐτῷ ἅπαν. καὶ τῶν διαβαινόντων τὸν ποταμὸν οὐδεὶς ἐβρέχθη ἀνωτέρω τῶν μαστῶν ὑπὸ τοῦ ποταμοῦ. οἱ δὲ Θαψακηνοὶ ἔλεγον, ὅτι οὐπώποθ᾽ οὗτος ὁ ποταμὸς διαβατὸς γένοιτο πεζῇ, εἰ μὴ τότε, ἀλλὰ πλοίοις, ἃ τότε Ἀβροκόμας προϊὼν κατέκαυσεν, ἵνα μὴ Κῦρος διαβῇ. ἐδόκει δὴ θεῖον εἶναι καὶ σαφῶς ὑποχωρῆσαι τὸν ποταμὸν Κύρῳ ὡς βασιλεύσοντι.

5. Put kroz pustinju arapsku.

(I. 5., 7.—17.)

Kir prođe Sirijom i zađe u Arabiju. Tu je bilo divljih magaraca, gazela, nojeva i dropalja. Konjanici navale loviti, ali noja ne ulove ni jednoga. Dođu do Pile na granici Babilonije. Mnogo im tovarne živine pogine od gladi, jer nije bilo krme. I vojsci ponestane žita, te se hranila mesom.

— 1. ***λοχαγία***: lohagija, čast satnička, v. str. 3. b. 7. — ***ἄλλου***: sastavi sa τεύξεσθε Κύρου, τυγχάνω s gen. lica i stvari; postići ćete od Kira drugo. — ***οὗτινος ἄν***: v. str. 9. b. 4. (ἄν). — ***οἶδα ὅτι***: zaista. — 2. ***διαβεβηκότας***: gdje su, v. str. 3. b. 11. — 4. ***τῷ στρατεύματι***: odjelu Menonovu. — ***ἤδη***: zasad. — 5. ***ὅπως***: v. str. 2. b. 7. — ***μηκέτι νομίζετε***: ne držite, ne zovite me više. — 7. ***εὔχομαί τινα εὐτυχῆσαι***: želim komu sreću. — ***ἐλέγετο***: subj. Κῦρος. — ***μεγαλοπρεπῶς***: sjajno.

10. ***βρέχω***: kvasim. — ***ἀνωτέρω τῶν μαστῶν***: više sisâ, iznad prsiju. — 12. ***ποταμὸς — γένοιτο***: da se nije dala prijeći, v. str. 2. b. 4. (ὡς). — ***πεζῇ***: pješke, nogama. — ***εἰ μή***: osim, doli. — 13. ***Ἀβροκόμας***: satrap Fenikije, zapovijedao vojskom od 300.000 momaka. — ***κατέκαυσεν*** (κατακαίω): dade spaliti. — ***διαβῇ***: iza sporednoga vremena dolazi u namjernoj rečenici obično opt. — ***ἐδόκει***: subj. τοῦτο (τὸ διαβῆναι, prijelaz), iz nom. s inf. prelazi se u ak. s inf. — 14. ***θεῖον εἶναι***: da je božanski znak. — ***ὑποχωρῆσαι***: da je uzmakla, spala pred. — ***ὡς βασιλεύσοντι***: kao pred budućim kraljem.

Καὶ δή ποτε στενοχωρίας καὶ πηλοῦ φανέντος ταῖς ἁμάξαις δυσπορεύτου ἐπέστη ὁ Κῦρος σὺν τοῖς περὶ αὐτὸν ἀρίστοις καὶ εὐδαιμονεστάτοις, καὶ ἔταξε Γλοῦν καὶ Πίγρητα λαβόντας τοῦ βαρβαρικοῦ στρατοῦ συνεκβιβάζειν τὰς ἁμάξας. ἐπεὶ δ' ἐδόκουν αὐτῷ σχολαίως ποιεῖν, ὥσπερ ὀργῇ ἐκέλευσε τοὺς περὶ αὐτὸν Πέρσας τοὺς κρατίστους συνεπισπεῦσαι τὰς ἁμάξας. ἔνθα δὴ μέρος τι τῆς εὐταξίας ἦν θεάσασθαι. ῥίψαντες γὰρ τοὺς πορφυροῦς κάνδυς, ὅπου ἔτυχεν ἕκαστος ἑστηκώς, ἵεντο, ὥσπερ ἂν δράμοι τις ἐπὶ νίκῃ, καὶ μάλα κατὰ πρανοῦς γηλόφου, ἔχοντες τούς τε πολυτελεῖς χιτῶνας καὶ τὰς ποικίλας ἀναξυρίδας, ἔνιοι δὲ καὶ στρεπτοὺς περὶ τοῖς τραχήλοις καὶ ψέλια περὶ ταῖς χερσίν· εὐθὺς δὲ σὺν τούτοις εἰσπηδήσαντες εἰς τὸν πηλὸν θᾶττον, ἢ ὥς τις ἂν ᾤετο, μετεώρους ἐξεκόμισαν τὰς ἁμάξας. τὸ δὲ σύμπαν δῆλος ἦν Κῦρος ὡς σπεύδων πᾶσαν τὴν ὁδὸν καὶ οὐ διατρίβων, ὅπου μὴ ἐπισιτισμοῦ ἕνεκα ἤ τινος ἄλλου ἀναγκαίου ἐκαθέζετο, νομίζων, ὅσῳ μὲν θᾶττον ἔλθοι, τοσούτῳ ἀπαρασκευοτέρῳ βασιλεῖ μαχεῖσθαι, ὅσῳ δὲ σχολαίτερον, τοσούτῳ

1. **καὶ δή**: pa. — **στενοχωρίας — φανέντος**: kad se pokazao uzak put i bara. — **ταῖς ἁμάξαις δυσπόρευτος**: za kola neprohodan. — 2. **ἐπέστη**: stade. — **σὺν τοῖς περί**: sa svojim najuglednijim i najbogatijim ljudma. — 3. **τοῦ — στρατοῦ**: od vojske. — 4. **συνεκβιβάζω**: pomažem izvući. — **σχολαίως**: polako. — **ὥσπερ ὀργῇ**: kao u ljutini, kao ljutit. — 5. **οἱ κράτιστοι**: najodličniji. — **συνεπισπεῦσαι τάς**: da brže pomognu iznijeti kola. — 6. **μέρος τι τῆς**: dobrano reda, pokornosti. — **ῥίπτω**: bacam. — 7. **τούς**: svoje. — **πορφυροῦς**: skerletan. — **κάνδυς**: duga gornja haljina sa širokim rukavima. — **ἔτυχεν ἑστηκώς**: v. str. 1. b. 4. — **ἵεμαι**: srtam. — 8. **ἐπί**: za pobjedu (kod utrke). — **μάλα**: veoma, sastavi s πρανοῦς. — **κατά**: sa. — **πρανής**: strm. — **γήλοφος**: brežuljak. — **ἔχοντες**: v. str. 1. b. 6. (λαβών). — 9. **πολυτελής**: skup. — **χιτών**: košulja. — **ποικίλος**: šaren. — **ἀναξυρίδες**: dimije. — **ἔνιοι**: neki. — **στρεπτός**: vratni lanac. — 10. **τράχηλος**: vrat. — **ψέλιον**: narukvica. — **εὐθύς**: odmah. — 11. **εἰσπηδάω**: skačem u. — **πηλός**: blato. — **ἢ ἂν ᾤετο**: nego bi tko mislio; za potencijal prošlosti (lat. crederes, videres, audires) upotrebljava se indikativ aorista ili imperfekta s ἄν a za sadašnjost opt. s ἄν. — **μετεώρους ἐξεκόμισαν**: u zraku izniješe t. j. digoše i izniješe. — 12. **τὸ σύμπαν**: uopće. — **δῆλος ἦν ὡς σπεύδων**: očevidno se žurio, v. str. 1. b. 4. — 13. **πᾶσαν τὴν ὁδόν**: cijelim putem. — **καὶ οὐ διατρίβων**: i nije se zadržavao, part. pred. — **ὅπου μή**: εἰ μή που, već ako bi gdje. — **ἐπισιτισμός**: dobavljanje hrane, hrana. — 14. **ἀναγκαίου**: radi potrebe. — **καθέζομαι**: boravim. — **ὅσῳ θᾶττον — τοσούτῳ**: dat. mensurae; što brže, to s nepripravnijim, v. str. 4. b. 5. (Τισσαφέρνει). — 15. **σχολαίτερον**: dopuni ἔλθοι; σχολαῖος, polagan. — **συναγείρω**: skupljam.

πλέον συναγείρεσθαι βασιλεῖ στράτευμα. καὶ συνιδεῖν δ' ἦν τῷ προσέχοντι τὸν νοῦν τῇ βασιλέως ἀρχῇ πλήθει μὲν χώρας καὶ ἀνθρώπων ἰσχυρὰ οὖσα, τοῖς δὲ μήκεσι τῶν ὁδῶν καὶ τῷ διεσπάσθαι τὰς δυνάμεις ἀσθενής, εἴ τις διὰ ταχέων τὸν πόλεμον ποιοῖτο.

Πέραν δὲ τοῦ Εὐφράτου ποταμοῦ κατὰ τοὺς ἐρήμους σταθμοὺς ἦν πόλις εὐδαίμων καὶ μεγάλη, ὄνομα δὲ Χαρμάνδη· ἐκ ταύτης οἱ στρατιῶται ἠγόραζον τὰ ἐπιτήδεια, σχεδίαις διαβαίνοντες ὧδε. διφθέρας, ἃς εἶχον στεγάσματα, ἐπίμπλασαν χόρτου κούφου, εἶτα συνῆγον καὶ συνέσπων, ὡς μὴ ἅπτεσθαι τῆς κάρφης τὸ ὕδωρ· ἐπὶ τούτων διέβαινον καὶ ἐλάμβανον τὰ ἐπιτήδεια, οἶνόν τε ἐκ τῆς βαλάνου πεποιημένον τῆς ἀπὸ τοῦ φοίνικος καὶ σῖτον μελίνης· τοῦτο γὰρ ἦν ἐν τῇ χώρᾳ πλεῖστον.

Ἀμφιλεξάντων δέ τι ἐνταῦθα τῶν τε Μένωνός του στρατιωτῶν καί του τῶν Κλεάρχου ὁ Κλέαρχος κρίνας ἀδικεῖν τὸν τοῦ Μένωνος πληγὰς ἐνέβαλεν· ὁ δὲ ἐλθὼν πρὸς τὸ ἑαυτοῦ στράτευμα ἔλεγεν· ἀκούσαντες δὲ οἱ στρατιῶται ἐχαλέπαινον καὶ ὠργίζοντο ἰσχυρῶς τῷ Κλεάρχῳ. τῇ δὲ αὐτῇ ἡμέρᾳ Κλέαρχος ἐλθὼν ἐπὶ τὴν διάβασιν τοῦ ποταμοῦ καὶ ἐκεῖ κατασκεψάμενος τὴν ἀγορὰν ἀφιππεύει ἐπὶ τὴν ἑαυτοῦ σκηνὴν διὰ τοῦ Μένωνος στρατεύματος σὺν ὀλίγοις τοῖς περὶ αὐτόν· Κῦρος δὲ οὔπω

— 1. **βασιλεῖ**: za kralja. — **συνιδεῖν ἦν — οὖσα**: udešeno, kao da je δήλη ἦν οὖσα; onaj, tko je pozorno motrio državu, mogao je vidjeti, da je jaka po. — **ἦν**: ἐξῆν. — 2. **πλῆθος**: množina. — 3. **μῆκος**: duljina. — **τῷ διεσπάσθαι**: po tome, što su sile raskidane. — 4. **ἀσθενής**: slab. — **διὰ ταχέων**: brzo.

5. **πέραν**: s onu stranu. — **κατὰ τοὺς ἐρήμους σταθμούς**: u pustim krajevima, v. str. 6. b. 1. — 6. **ὄνομα**: ak. obzira, po imenu. — 7. **ἀγοράζω**: kupujem. — **τὰ ἐπιτήδεια**: str. 10. b. 5. — **σχεδία**: splav. — **διφθέρα**: koža. — 8. **στεγάσματα**: pred., za krov (na šatorima). — **χόρτου**: gen. copiae uz gl. 'puniti', χόρτος (trava) κοῦφος (laka), sijeno. — **συνάγω, συσπάω**: smotam, sašijem; impf. pokazuje ponavljanje, prevedi sa 'bi'. — 9. **ὡς**: ὥστε, naumljena posljedica, v. str. 3. b. 1.; da se ne bi. — **ἅπτεσθαι**: gl. 'ticati se, hvatati se' zahtijevaju gen. partitivni. — **κάρφη**: suho. — 10. **ἐκ**: od. — **βάλανος** (žir) ἡ ἀπὸ τοῦ φοίνικος (od paome): datula; sok od datula, kad prevri, još danas rado piju oko Eufrata. — 11. **σῖτος μελίνης**: gen. materiae, kruh od prosa, prosen kruh.

12. **ἀμφιλεξάντων**: sastavi s obadva τοῦ; kad se nešto popravdao jedan od vojnika Menonovih i jedan od Klearhovih. — **Μένων**: str. 6. b. 7. — 13. **Κλέαρχος**: str. 4. b. 10. — **ἀδικέω**: kriv sam. — **πληγὰς ἐνέβαλεν**: dade ga izbatinati; v. str. 2. b. 4. — 14. **ὁ δέ**: a on. — **ἔλεγεν**: ispripovijeda (drugovima) to. — 15. **χαλεπαίνω, ὀργίζομαι**: ljutim se, srdim se; gl. 'ljutiti se, veseliti se, žalostiti se, stidjeti se' zahtijevaju dat. causae. — 17. **ἀφιππεύει εἰς**: odjaše natrag k. — **σκηνή**: šator. — **διά**: v. str. 11. b. 13. — 18. **σὺν ὀλίγοις—αὐτόν**: s malom pratnjom.

ἦκεν, ἀλλ᾽ ἔτι προσήλαυνε· τῶν δὲ Μένωνος στρατιωτῶν ξύλα σχίζων τις, ὡς εἶδε Κλέαρχον διελαύνοντα, ἵησι τῇ ἀξίνῃ· καὶ οὗτος μὲν αὐτοῦ ἥμαρτεν· ἄλλος δὲ λίθῳ καὶ ἄλλος, εἶτα πολλοί, κραυγῆς γενομένης. ὁ δὲ καταφεύγει εἰς τὸ ἑαυτοῦ στράτευμα, καὶ εὐθὺς παραγγέλλει εἰς τὰ ὅπλα· καὶ τοὺς μὲν ὁπλίτας αὐτοῦ ἐκέλευσε μεῖναι τὰς ἀσπίδας πρὸς τὰ γόνατα θέντας, αὐτὸς δὲ λαβὼν τοὺς Θρᾷκας καὶ τοὺς ἱππεῖς, οἳ ἦσαν αὐτῷ ἐν τῷ στρατεύματι πλείους ἢ τετταράκοντα, τούτων δὲ οἱ πλεῖστοι Θρᾷκες, ἤλαυνεν ἐπὶ τοὺς Μένωνος, ὥστ᾽ ἐκείνους ἐκπεπλῆχθαι καὶ αὐτὸν Μένωνα καὶ τρέχειν ἐπὶ τὰ ὅπλα· οἱ δὲ καὶ ἕστασαν ἀποροῦντες τῷ πράγματι. ὁ δὲ Πρόξενος — ἔτυχε γὰρ ὕστερος προσιὼν καὶ τάξις αὐτῷ ἑπομένη τῶν ὁπλιτῶν — εὐθὺς οὖν εἰς τὸ μέσον ἀμφοτέρων ἄγων ἔθετο τὰ ὅπλα καὶ ἐδεῖτο τοῦ Κλεάρχου μὴ ποιεῖν ταῦτα. ὁ δ᾽ ἐχαλέπαινεν, ὅτι αὐτοῦ ὀλίγου δεήσαντος καταλευσθῆναι πρᾴως λέγοι τὸ αὐτοῦ πάθος, ἐκέλευσέ τε αὐτὸν ἐκ τοῦ μέσου ἐξίστασθαι.

Ἐν τούτῳ δ᾽ ἐπῄει καὶ Κῦρος καὶ ἐπύθετο τὸ πρᾶγμα· εὐθὺς δ᾽ ἔλαβε τὰ παλτὰ εἰς τὰς χεῖρας καὶ σὺν τοῖς παροῦσι τῶν πιστῶν ἧκεν ἐλαύνων εἰς τὸ μέσον καὶ λέγει τάδε· „Κλέαρχε καὶ Πρόξενε καὶ οἱ ἄλλοι οἱ παρόντες Ἕλληνες, οὐκ ἴστε, ὅ τι ποιεῖτε. εἰ γάρ τινα ἀλλήλοις μάχην

— 1. **ἧκε**: bješe došao. — **ἔτι προσήλαυνε**: još je dolazio, bio na putu. — **ξύλον**: drvo. — **σχίζω**: cijepam. — 2. **ὡς**: kako, čim (lat. ut). — **διελαύνοντα**: gdje prolazi na konju, v. str. 3. b. 11. — **ἵησι**: baci se na nj. — **ἀξίνη**: sjekira. — **αὐτοῦ**: gl. 'gađati, promašati, postići' zahtijevaju gen. part. — 3. **ἄλλος καὶ ἄλλος**: ἵησι, drugi i opet drugi. — **λίθος**: kamen. — **κραυγή**: vika. — 4. **παραγγέλλει εἰς**: pozove na. — 5. **ὁπλίτης**: v. str. 2. b. 1. — **αὐτοῦ**: ondje. — **πρὸς τὰ γόνατα**: i neka stave štit k nozi (koljenu) t. j. neka budu spremni za boj; kad je vojnik spreman za boj, stoji mu štit na zemlji i prislonjen je o koljeno. — 6. **λαβών**: sa, v. str. 1. b. 6. — **οἳ ἦσαν αὐτῷ**: dat. pos., kojih (konjanikâ) imađaše više. — 8. **ὥστ᾽**: te su se oni prepali, v. str. 3. b. 1. — 9. **οἱ δὲ καί**: a neki su i. — **ἀποροῦντες τῷ πράγματι**: ne znajući, što bi. — 10. **ὕστερος**: kasnije; v. str. 5. b. 2. (ἑκών). — **προσιών**: v. str. 1. b. 4. — 11. **τάξις**: četa, odio. — 12. **ἔθετο τὰ ὅπλα**: zapovjedi, da stanu t. j. neka stave štit k nozi, a koplje (donji kraj) zabodu u zemlju. — **δέομαί τινος**: molim koga. — 13. **ὅτι**: što; u uzročnoj rečenici može poslije sporednoga vremena mjesto indikativa biti opt. — **αὐτοῦ**: sastavi s δεήσαντος, a gen. ὀλίγου je zavisan o δεήσαντος; premda malo nije bio kamenovan. — **πρᾴως λέγοι**: mirno, ravnodušno govori o. — 14. **πάθος**: nezgoda. — **ἐξίστασθαι**: neka se miče.

15. **ἐν τούτῳ**: uto. — **τὸ πρᾶγμα**: što se zbilo. — 16. **τὰ παλτά**: Perzijanci imadu po dva koplja, a nosi ih na putu sluga. — **τάς**: svoje. — **τοῖς — τῶν πιστῶν**: s nazočnim uzdanicima. — **ἧκεν**: dođe. — 17. **ἐλαύνων**: jašući. — 18. **εἰ γάρ τινα**: jer budete li među sobom zametnuli, v. str.

συνάψετε, νομίζετε ἐν τῇδε τῇ ἡμέρᾳ ἐμέ τε κατακεκόψεσθαι καὶ ὑμᾶς οὐ πολὺ ἐμοῦ ὕστερον· κακῶς γὰρ τῶν ἡμετέρων ἐχόντων πάντες οὗτοι, οὓς ὁρᾶτε, βάρβαροι πολεμιώτεροι ἡμῖν ἔσονται τῶν παρὰ βασιλεῖ ὄντων." ἀκούσας ταῦτα ὁ Κλέαρχος ἐν ἑαυτῷ ἐγένετο· καὶ παυσάμενοι ἀμφότεροι κατὰ χώραν ἔθεντο τὰ ὅπλα.

6. Smrt izdajnika Oronte.

(I. 6., 1.—11.)

Ἐντεῦθεν προϊόντων ἐφαίνετο ἴχνη ἵππων καὶ κόπρος· ᾐκάζετο δ᾽ εἶναι ὁ στίβος ὡς δισχιλίων ἵππων. οὗτοι προϊόντες ἔκαιον καὶ χιλὸν καὶ εἴ τι ἄλλο χρήσιμον ἦν. Ὀρόντας δέ, Πέρσης ἀνὴρ γένει τε προσήκων βασιλεῖ καὶ τὰ πολέμια λεγόμενος ἐν τοῖς ἀρίστοις Περσῶν, ἐπιβουλεύει Κύρῳ, καὶ πρόσθεν πολεμήσας, καταλλαγεὶς δέ. οὗτος Κύρῳ εἶπεν, εἰ αὐτῷ δοίη ἱππέας χιλίους, ὅτι τοὺς προκατακαίοντας ἱππέας ἢ κατακαίνοι ἂν ἐνεδρεύσας ἢ ζῶντας πολλοὺς αὐτῶν ἂν ἕλοι καὶ κωλύσειε τοῦ καίειν ἐπιόντας καὶ ποιήσειεν, ὥστε μήποτε δύνασθαι αὐτοὺς ἰδόντας τὸ Κύρου στράτευμα βασιλεῖ διαγγεῖλαι. τῷ δὲ Κύρῳ ἀκούσαντι ταῦτα ἐδόκει ὠφέλιμα εἶναι, καὶ ἐκέλευσεν αὐτὸν λαμβάνειν μέρος παρ᾽ ἑκάστου τῶν ἡγεμόνων. ὁ δ᾽ Ὀρόντας, νομίσας ἑτοίμους εἶναι αὐτῷ τοὺς ἱππέας,

4. b. 5. — 1. **νομίζετε**: imperat. — **κατακεκόψεσθαι**: da ću biti ubijen, past ću. — 2. **πολύ**: često mj. πολλῷ uz komparative. — **κακῶς—ἐχόντων**: ako budu naše prilike loše t. j. ako ne budemo složni, v. str. 3. b. 3. — 3. **πολεμιώτεροι**: veći neprijatelji. — **τῶν παρά**: od kraljeve vojske, gen. comparat. — 4. **ἐν ἑαυτῷ ἐγένετο**: osvijeti se, razabere se. — **παυσάμενοι**: dodaj μάχης. — 5. **κατὰ χώραν**: na mjesto (u taboru za njih određeno).

6. **ἐντεῦθεν**: iz Harmande, v. br. 5. – **προϊόντων**: αὐτῶν (Kirova vojska). — **ἐφαίνετο**: pokazivahu se, v. str. 10. b. 5. — **ἴχνος**: trag. — **κόπρος**: blato. — **ᾐκάζετο ὁ στίβος ὡς**: nagađalo se, da je to trag od neko. — 7. **οὗτοι**: ti konjanici. — **καίω**: palim. — **χιλός**: krma. — 8. **προσήκων**: rođak. — 9. **τὰ πολέμια**: ak. obzira, u ratnoj vještini; sastavi sa ἀρίστοις. — **λεγόμενος ἐν**: brojeći se među. — 10. **καὶ πρόσθεν**: a već je i prije vojevao (na Kira), ali se izmirio. — 11. **δοίη**: v. str. 12. b. 13. (ἄ). — **ὅτι**: zavisno o εἶπεν. — **προκατακαίω**: palim sprijed. — 12. **κατακαίνω**: ubijam. — **ἐνεδρεύω**: vrebam na. — **κωλύω**: priječim; gl. 'odvraćati, priječiti, uzdržavati se, daleko biti' zahtijevaju gen. separationis. — 13. **τοῦ καίειν ἐπιόντας**: da primičući se (vojsci Kirovoj) ne pale, v. str. 4. b. 2. — **ὥστε**: v. str. 17. b. 9. (ὡς). — **αὐτούς**: subj. — 15. **μέρος**: dio (konjanika Perzijanaca). — 16. **ἕτοιμος**: spreman, odan. —

*

γράφει ἐπιστολὴν παρὰ βασιλέα, ὅτι ἥξοι ἔχων ἱππεῖς ὡς ἂν δύνηται πλείστους· ἀλλὰ φράσαι τοῖς αὐτοῦ ἱππεῦσιν ἐκέλευεν ὡς φίλιον αὐτὸν ὑποδέχεσθαι. ἐνῆν δὲ ἐν τῇ ἐπιστολῇ καὶ τῆς πρόσθεν φιλίας ὑπομνήματα καὶ πίστεως. ταύτην τὴν ἐπιστολὴν δίδωσι πιστῷ ἀνδρί, ὡς ᾤετο· ὁ δὲ λαβὼν Κύρῳ δίδωσιν. ἀναγνοὺς δὲ αὐτὴν ὁ Κῦρος συλλαμβάνει Ὀρόνταν, καὶ συγκαλεῖ εἰς τὴν ἑαυτοῦ σκηνὴν Πέρσας τοὺς ἀρίστους τῶν περὶ αὐτὸν ἑπτά, καὶ τοὺς τῶν Ἑλλήνων στρατηγοὺς ἐκέλευσεν ὁπλίτας ἀγαγεῖν, τούτους δὲ θέσθαι τὰ ὅπλα περὶ τὴν αὐτοῦ σκηνήν. οἱ δὲ ταῦτα ἐποίησαν, ἀγαγόντες ὡς τρισχιλίους ὁπλίτας. Κλέαρχον δὲ καὶ εἴσω παρεκάλεσε σύμβουλον, ὅς γε καὶ αὐτῷ καὶ τοῖς ἄλλοις ἐδόκει προτιμηθῆναι μάλιστα τῶν Ἑλλήνων.

Ἐπεὶ δ' ἐξῆλθεν, ἀπήγγειλε τοῖς φίλοις τὴν κρίσιν τοῦ Ὀρόντα, ὡς ἐγένετο· οὐ γὰρ ἀπόρρητον ἦν. ἔφη δὲ Κῦρον ἄρχειν τοῦ λόγου ὧδε· „Παρεκάλεσα ὑμᾶς, ἄνδρες φίλοι, ὅπως σὺν ὑμῖν βουλευόμενος, ὅ τι δίκαιόν ἐστι καὶ πρὸς θεῶν καὶ πρὸς ἀνθρώπων, τοῦτο πράξω περὶ Ὀρόντα τουτουί. τοῦτον γὰρ πρῶτον μὲν ὁ ἐμὸς πατὴρ ἔδωκεν ὑπήκοον εἶναι ἐμοί· ἐπεὶ δὲ ταχθείς, ὡς ἔφη αὐτός, ὑπὸ τοῦ ἐμοῦ ἀδελφοῦ οὗτος ἐπολέμησεν ἐμοί, ἔχων τὴν ἐν Σάρδεσιν ἀκρόπολιν, καὶ ἐγὼ αὐτὸν προσπολεμῶν ἐποίησα, ὥστε δόξαι τούτῳ τοῦ πρὸς ἐμὲ πολέμου παύσασθαι,

1. **ἥξοι**: v. str. 2. b. 4. (ὡς). — **ἔχων**: v. str. 1. b. 6. — 2. **φράσαι**: zavisno o ἐκέλευεν a ὑποδέχεσθαι o φράσαι; molio je (u pismu kralja), neka kaže konjici, da ga (Orontu) dočeka kao. — 3. **ἐνῆν**: v. str. 10. b. 5. — **τῆς πρόσθεν — ὑπομνήματα**: bijaše spomena o pređašnjem prijateljstvu, pominjalo se pređašnje. — 4. **πίστις**: vjernost. — 5. **ἀναγνούς**: pročitavši. — 6. **σκηνή**: šator. — 7. **ἑπτά**: sedmoricu Perzijanaca, najuglednijih dvorana svojih; razumijeva se onih 7 velikih sudaca, koji pripadaju dvoru. — **ὁπλίτης**: v. str. 2. b. 1. — 8. **θέσθαι**: v. str. 18. b. 12. — 9. **ὡς**: do, oko, neko. — **Κλέαρχος**: v. str. 4. b. 10. — **εἴσω**: unutra. — 10. **σύμβουλον**: za savjetnika. — **ὅς γε**: jer (lat. quippe qui). — **τοῖς ἄλλοις**: Πέρσαις. — 11. **τῶν Ἑλλήνων**: zavisno o προτιμηθῆναι, da između Helena najviše ugleda ima.

12. **ἐξῆλθεν**: poslije osude izide iz šatora Kirova Klearh i ispripovijeda, što se s Orontom zbilo. — **τὴν κρίσιν**: osudu; kod gl. 'govoriti, spoznati, pitati, bojati se, brinuti se' rado se meće subj. zavisne rečenice naprijed u glavnu kao obj. (anticipacija ili prolepsa). — 13. **ἀπόρρητον**: tajno, tajna. — **ἄρχειν**: da je počeo; ἄρχω, počinjem (drugi će nastaviti); ἄρχομαι (počinjem i sâm nastavljam); gl. 'počinjati i odustajati' zahtijevaju gen. separat. — 15. **πρός**: — pred. — 16. **τουτουί**: huiusce. — **ὑπήκοον εἶναι**: da bude podanik. — 17. **ταχθεὶς ὑπό**: na zapovijed moga brata. — **ἐμοί**: v. str. 4. b. 5. (Τισσαφέρνει). — 18. **ἔχων**: držeći; bio je zapovjednik posade u Sardu. — **αὐτὸν ἐποίησα**: prinudih ga. — 19. **ὥστε**: te je odlučio on (Oronta), v. str. 3. b. 1. — **παύομαί τινος**: odustajem od, v. str. 20. b. 13. — 1. **δεξιά**: desnica, vjera. — **μετὰ ταῦτα**: zatim, v. str. 8. b. 14. — **ἔφη**: Kir. — **ἔστιν, ὅ τι**: jesam li ti što krivo uradio? — 2. **ὅτι οὔ**: ἔστιν, da nije. — **πάλιν**: opet. — **οὐκοῦν**: u pit. 'ne li' (lat. nonne igitur). — 3. **ὁμολογέω**: priznajem. — **οὐδὲν — ἀδικούμενος**: premda ti ja nijesam ništa krivo uradio, v. str. 4. b. 14. (τούς). — **ἀφίσταμαι εἰς**: odmećem se u, k; brđani Mišani sačuvali su slobodu svoju kao i Pisiđani, v. str. 5. b. 12. — 4. **κακῶς ποιέω**: pustošim, v. str. 4. b. 14. — **ὅ τι**: koliko. — **ἔφη**: potvrdi. — 5. **δύναμις**: nemoć. — **ἐλθών**: zatekavši se. — 6. **ἐπὶ τόν**: k žrtveniku one Artemide (efeske). — **μεταμέλει μοι**: kajem se. — **πείσας**: namolivši. — 7. **πιστά**: sr. rod, vjera. — 8. **ἀδικηθεὶς — γέγονας**: što sam ti krivo uradio, te si mi sada po treći put očevidno krivo radio, v. str. 16. b. 12. — 10. **ἀδικηθείς**: dopuni αὐτῷ ἐπεβούλευσε. — **περί**: prema; da si mi krivac. — 11. **ἦ γὰρ ἀνάγκη**: ἐστίν, zaista moram. — **ἐκ τούτου**: zatim. — 12. **ἂν γένοιο**: možeš li postati. — 13. **οὐδ' εἰ**: ni kad bi, v. str. 12. b. 13. (ἄν). — 14. **πρὸς ταῦτα**: nato. — 16. **ἀπόφηναι γνώμην**: kaži mnijenje svoje. — 17. **ἐκποδὼν ποιέομαι**: uklonim. — 18. **φυλάττομαί τινα**: čuvam se koga. — **σχολὴ ᾖ — ποιεῖν**: da imamo kad dobro činiti; da s mirom možemo činiti. — 19. **τὸ κατὰ τοῦτον εἶναι**: apsolutni inf., koliko je do njega (Oronte) t. j. da nam ne smeta. — **τοὺς ἐθελοντὰς φίλους**: svojevoljnim, pravim prijateljima, v. str. 4. b. 14. — 20. **ἔφη**: Klearh. — **προστίθεμαι**: pridružujem se, pristajem.

καὶ δεξιὰν ἔλαβον καὶ ἔδωκα, μετὰ ταῦτα", ἔφη, „ὦ Ὀρόντα, ἔστιν, ὅ τι σε ἠδίκησα;" ἀπεκρίνατο, ὅτι οὔ. πάλιν δὲ ὁ Κῦρος ἠρώτα· „Οὐκοῦν ὕστερον, ὡς αὐτὸς σὺ ὁμολογεῖς, οὐδὲν ὑπ' ἐμοῦ ἀδικούμενος, ἀποστὰς εἰς Μυσοὺς κακῶς ἐποίεις τὴν ἐμὴν χώραν, ὅ τι ἐδύνω;" ἔφη ὁ Ὀρόντας. „Οὐκοῦν", ἔφη ὁ Κῦρος, „ὁπότ' αὖ ἔγνως τὴν σαυτοῦ δύναμιν, ἐλθὼν ἐπὶ τὸν τῆς Ἀρτέμιδος βωμὸν μεταμέλειν τέ σοι ἔφησθα καὶ πείσας ἐμὲ πιστὰ πάλιν ἔδωκάς μοι καὶ ἔλαβες παρ' ἐμοῦ;" καὶ ταῦθ' ὡμολόγει ὁ Ὀρόντας. „Τί οὖν", ἔφη ὁ Κῦρος, „ἀδικηθεὶς ὑπ' ἐμοῦ νῦν τὸ τρίτον ἐπιβουλεύων μοι φανερὸς γέγονας;" εἰπόντος δὲ τοῦ Ὀρόντα, ὅτι οὐδὲν ἀδικηθείς, ἠρώτησεν ὁ Κῦρος αὐτόν· „Ὁμολογεῖς οὖν περὶ ἐμὲ ἄδικος γεγενῆσθαι;" „Ἦ γὰρ ἀνάγκη", ἔφη ὁ Ὀρόντας. ἐκ τούτου πάλιν ἠρώτησεν ὁ Κῦρος· „Ἔτι οὖν ἂν γένοιο τῷ ἐμῷ ἀδελφῷ πολέμιος, ἐμοὶ δὲ φίλος καὶ πιστός;" ὁ δὲ ἀπεκρίνατο, ὅτι „οὐδ' εἰ γενοίμην, ὦ Κῦρε, σοί γ' ἄν ποτε ἔτι δόξαιμι". πρὸς ταῦτα Κῦρος εἶπε τοῖς παροῦσιν· „Ὁ μὲν ἀνὴρ τοιαῦτα μὲν πεποίηκε, τοιαῦτα δὲ λέγει· ὑμῶν δὲ σὺ πρῶτος, ὦ Κλέαρχε, ἀπόφηναι γνώμην, ὅ τι σοι δοκεῖ". Κλέαρχος δὲ εἶπε τάδε· „Συμβουλεύω ἐγὼ τὸν ἄνδρα τοῦτον ἐκποδὼν ποιεῖσθαι ὡς τάχιστα, ὡς μηκέτι δέῃ τοῦτον φυλάττεσθαι, ἀλλὰ σχολὴ ᾖ ἡμῖν, τὸ κατὰ τοῦτον εἶναι, τοὺς ἐθελοντὰς φίλους εὖ ποιεῖν." ταύτῃ δὲ τῇ γνώμῃ ἔφη καὶ τοὺς ἄλλους προσθέσθαι.

Μετὰ ταῦτα κελεύοντος Κύρου ἔλαβον τῆς ζώνης τὸν Ὀρόνταν ἐπὶ θανάτῳ ἅπαντες ἀναστάντες καὶ οἱ συγγενεῖς· εἶτα δ' ἐξῆγον αὐτόν, οἷς προσετάχθη. ἐπεὶ δὲ εἶδον αὐτόν, οἵπερ πρόσθεν προσεκύνουν, καὶ τότε προσεκύνησαν, καίπερ εἰδότες, ὅτι ἐπὶ θάνατον ἄγοιτο. ἐπεὶ δὲ εἰς τὴν Ἀρταπάτου σκηνὴν εἰσήχθη, τοῦ πιστοτάτου τῶν Κύρου σκηπτούχων, μετὰ ταῦτα οὔτε ζῶντα Ὀρόνταν οὔτε τεθνηκότα οὐδεὶς εἶδε πώποτε οὐδέ, ὅπως ἀπέθανεν, οὐδεὶς εἰδὼς ἔλεγεν· ᾔκαζον δὲ ἄλλοι ἄλλως· τάφος δὲ οὐδεὶς πώποτε αὐτοῦ ἐφάνη.

7. Bitka kod sela Kunakse.

(I. 8., 1.—29.)

Kir zađe 30. kolovoza u Babiloniju, ogleda svoju vojsku, prozbori Helenima. Oklopnika Helena bilo je 10.400, lako oružanih 2.500 a barbara 100.000 i oko 20 bojnih kola sa srpovima. Za kralja sazna da ima 1,200.000 momaka i 200 srponosnih kola i još napose 6.000 konjanika, što su pred samim kraljem. Vođe su kraljeve Abrokoma, Tisaferno, Gobrija i Arbak, svaki sa 300.000 momaka. U boju je bilo samo 900.000, jer je Abrokoma poslije bitke stigao. Kir krene dalje i 4. rujna g. 401. dođe do bitke.

Καὶ ἤδη τε ἦν ἀμφὶ ἀγορὰν πλήθουσαν καὶ πλησίον ἦν ὁ σταθμός, ἔνθα ἔμελλε καταλύειν, ἡνίκα Πατηγύας, ἀνὴρ Πέρσης τῶν ἀμφὶ Κῦρον χρηστός, προφαίνεται ἐλαύνων ἀνὰ κράτος ἱδροῦντι τῷ ἵππῳ, καὶ εὐθὺς πᾶσιν, οἷς ἐνετύγχανεν, ἐβόα καὶ βαρβαρικῶς καὶ ἑλληνικῶς, ὅτι βασιλεὺς σὺν στρατεύματι πολλῷ προσέρχεται ὡς εἰς μάχην παρεσκευασμένος. ἔνθα δὴ πολὺς τάραχος ἐγένετο· αὐτίκα γὰρ ἐδόκουν οἱ Ἕλληνες καὶ πάντες δὲ ἀτάκτοις σφίσιν ἐπιπεσεῖσθαι· Κῦρός τε καταπηδήσας ἀπὸ τοῦ ἅρματος τὸν θώρακα ἐνεδύετο καὶ ἀναβὰς ἐπὶ τὸν ἵππον τὰ παλτὰ εἰς τὰς χεῖρας ἔλαβε, τοῖς τε ἄλλοις πᾶσι παρήγγελλεν ἐξοπλίζεσθαι καὶ καθίστασθαι εἰς τὴν ἑαυτοῦ τάξιν ἕκαστον. ἔνθα δὴ σὺν πολλῇ σπουδῇ καθίσταντο, Κλέαρχος μὲν τὰ δεξιὰ τοῦ κέρατος ἔχων πρὸς τῷ Εὐφράτῃ ποταμῷ, Πρόξενος δὲ ἐχόμενος, οἱ δ' ἄλλοι μετὰ τοῦτον, Μένων δὲ τὸ εὐώνυμον κέρας ἔσχε τοῦ Ἑλληνικοῦ. τοῦ δὲ βαρβαρικοῦ ἱππεῖς μὲν Παφλαγόνες εἰς χιλίους παρὰ Κλέαρχον ἔστησαν ἐν τῷ δεξιῷ καὶ τὸ Ἑλληνικὸν πελταστικόν, ἐν δὲ τῷ εὐωνύμῳ Ἀριαῖός τε ὁ Κύρου ὕπαρχος καὶ τὸ ἄλλο βαρβαρικόν, Κῦρος δὲ καὶ οἱ ἱππεῖς τούτου ὅσον ἑξακόσιοι κατὰ τὸ μέσον, ὡπλισμένοι θώραξι μὲν αὐτοὶ καὶ παραμηριδίοις καὶ κράνεσι πάντες πλὴν Κύρου· Κῦρος δὲ ψιλὴν ἔχων τὴν κεφαλὴν εἰς τὴν μάχην καθίστατο. οἱ δ' ἵπποι πάντες εἶχον καὶ προμετωπίδια καὶ προστερνίδια· εἶχον δὲ καὶ μαχαίρας οἱ ἱππεῖς Ἑλληνικάς.

1. ***τῆς ζώνης***: za pojas, gen. part.; v. str. 17. b. 9. — ***ἐπὶ θανάτῳ***: u znak smrtne osude. — 2. ***καί***: pa i. — ***οἱ συγγενεῖς***: rođaci. — 3. ***προσκυνέω***: klanjam se t. j. padam ničke, udaram čelom o tle i ljubim zemlju. — 4. ***καίπερ εἰδότες***: premda su znali. — ***ἐπὶ θάνατον***: na smrt. — ***ἄγοιτο***: v. str. 2. b. 4. (ὡς). — 5. ***Ἀρταπάτης***: izdahnuo na tijelu Kirovu kod Kunakse. — ***σκηπτοῦχοι***: žezlonoše; dvorani, koji vode strance pred gospodara, idu pred kolima njegovim i vrše druge poslove. — 6. ***μετὰ ταῦτα***: odonda. — 7. ***ὅπως***: kako, pitanje; valjada su ga na perzijsku živa u šatoru zakopali. — ***οὐδεὶς εἰδὼς ἔλεγεν***: nitko nije znao kazati; v. str. 9. b. 4. — ***ἄλλοι ἄλλως***: svaki drukčije. — 8. ***τάφος***: grob.

9. ***ἀμφὶ — πλήθουσαν***: između 10—12 sati, kad se puni trg; dan se dijeli ovako: πρῴ (jutro) do 10 sati, ἀγορᾶς πληθούσης od 10—12 sati, μεσημβρία (μέσον ἡμέρας, podne) od 12—1 sat, δείλη (popodne) od 1 do 6 sati, ἑσπέρα (večer) poslije 6 sati. — ***σταθμός***: v. str. 6. b. 1. — 10. ***καταλύω***: stanem. — 11. ***χρηστός***: junačan. — ***προφαίνεται***: pomoli se. — ***ἐλαύνω***: jašem. — ***ἀνὰ κράτος***: zagonačke, upropnice. — ***ἱδροῦντι*** (ἱδρόω): na oznojenu. — 12. ***ἐντυγχάνω τινί***: nailazim na. —

1. ***εἰς***: za. — 2. ***τάραχος***: zabuna. — ***αὐτίκα***: odmah. — ***ἐδόκουν***: mislili su. — 3. ***ἄτακτος***: neuređen. — ***σφίσιν***: αὐτοῖς. — ***ἐπιπίπτω τινί***: nasrnuti na. — ***καταπηδάω***: skačem sa. — 4. ***ἐνδύομαι***: navlačim, mećem na se. — 5. ***τὰ παλτά***: v. str. 18. b. 16. — ***ἐξοπλίζομαι***: oružam se. — 6. ***εἰς τὴν τάξιν***: na svoje mjesto. — 7. ***σπουδή***: žurba. — ***Κλέαρχος***: v. str. 4. b. 10. — ***τὰ δεξιὰ τοῦ κέρατος***: desno krilo (cijele) vojske; κέρας, vojska na putu. — ***ἔχων***: v. str. 1. b. 6. — 8. ***πρός***: prema. — ***ἐχόμενος***: dopuni αὐτοῦ, držeći se njega; prevedi: do njega. — ***μετά***: do. — 9. ***τὸ εὐώνυμον κέρας***: lijevo krilo. — ***ἔσχε***: dobi, zapremi. — ***τοῦ Ἑλληνικοῦ***: sastavi s κέρας, helenske vojske. — ***τοῦ βαρβαρικοῦ***: od barbarske vojske. — 10. ***εἰς***: do, neko. — ***παρά***: do. — 11. ***πελταστικόν***: laka pješadija t. j. kopljanici (ἀκοντισταί), strijelci (τοξόται), praćari (σφενδονῆται) i peltasti (πελτασταί). Pod peltastima razumijeva se često sva laka momčad. Kopljanici imadu 1·45 m duga koplja (ἀκόντιον), bacaju ih do 80 m daleko; strijelci imadu luk (τόξον) i strjelice (τοξεύματα, οἰστοί) u tobolcu (φαρέτρα), a praćari praćicu (σφενδόνη) i kamenje ili olovna zrna u kožnoj torbici (διφθέρα). Peltasti nijesu samo za boj izdaleka, kao što ostala laka momčad, nego se biju i izbliza. Osim kopalja za bacanje (ἀκόντιον) imadu onakvo koplje (δόρυ), kao što oklopnici, i mač. Štit njihov (πέλτη) je malen i nalik na polumjesec, po njemu se i zovu. — 12. ***ὕπαρχος***: podzapovjednik. — 13. ***ὅσον***: neko. — ***κατὰ τὸ μέσον***: u sredinu (cijele vojske). — 14. ***παραμηρίδια***: oklop oko bokova. — ***κράνος***: kaciga. — ***ψιλὴν ἔχων***: bez kacige na glavi; imao je samo tijaru (čalmu). — 15. ***καθίστατο***: polazio je. — 16. ***προμετωπίδιον***: oklop čeoni. — ***προστερνίδιον***: oklop prsni. — ***μάχαιρα***: v. str. 2. b. 1. (ὁπλίτης).

Καὶ ἤδη τε ἦν μέσον ἡμέρας καὶ οὔπω καταφανεῖς ἦσαν οἱ πολέμιοι· ἡνίκα δὲ δείλη ἐγίγνετο, ἐφάνη κονιορτός, ὥσπερ νεφέλη λευκή, χρόνῳ δὲ συχνῷ ὕστερον ὥσπερ μελανία τις ἐν τῷ πεδίῳ ἐπὶ πολύ. ὅτε δὲ ἐγγύτερον ἐγίγνοντο, τάχα δὴ καὶ χαλκός τις ἤστραπτε καὶ λόγχαι, καὶ αἱ τάξεις καταφανεῖς ἐγίγνοντο. καὶ ἦσαν ἱππεῖς μὲν λευκοθώρακες ἐπὶ τοῦ εὐωνύμου τῶν πολεμίων· Τισσαφέρνης ἐλέγετο τούτων ἄρχειν· ἐχόμενοι δὲ γερροφόροι, ἐχόμενοι δὲ ὁπλῖται σὺν ποδήρεσι ξυλίναις ἀσπίσιν — Αἰγύπτιοι δ᾽ οὗτοι ἐλέγοντο εἶναι — ἄλλοι δ᾽ ἱππεῖς, ἄλλοι τοξόται. πάντες δ᾽ οὗτοι κατὰ ἔθνη, ἐν πλαισίῳ πλήρει ἀνθρώπων ἕκαστον τὸ ἔθνος ἐπορεύετο. πρὸ δὲ αὐτῶν ἅρματα διαλείποντα συχνὸν ἀπ᾽ ἀλλήλων, τὰ δὴ δρεπανηφόρα καλούμενα· εἶχον δὲ τὰ δρέπανα ἐκ τῶν ἀξόνων εἰς πλάγιον ἀποτεταμένα καὶ ὑπὸ τοῖς δίφροις εἰς γῆν βλέποντα, ὡς διακόπτειν, ὅτῳ ἐντυγχάνοιεν. ἡ δὲ γνώμη ἦν ὡς εἰς τὰς τάξεις τῶν Ἑλλήνων ἐλῶντα καὶ διακόψοντα. ὃ μέντοι Κῦρος εἶπεν, ὅτε καλέσας παρεκελεύετο τοῖς Ἕλλησι τὴν κραυγὴν τῶν βαρβάρων ἀνέχεσθαι, ἐψεύσθη

Kirova vojska stoji ovako: do Eufrata konjica paflagonska, dalje redom helenska laka pješadija, zatim Klearh, Proksen, Menon, Kir sa 600 konjanika i napokon Arijej s ostalom barbarskom vojskom. — 1. **καταφανής**: napomol. — 3. **χρόνῳ συχνῷ**: dat. mensurae, poslije duga vremena. — **μελανία**: crn oblak. — **ἐπὶ πολύ**: nadaleko. — 4. **ἐγγύτερόν**: bliže. — **ἐγίγνοντο**: dolazili su. — **τάχα**: odmah. — **ἤστραπτε**: zablista ovdje ondje. — **λόγχη**: rt kopljani, koplje. — 5. **καταφανεῖς ἐγίγνοντο**: razabirahu se. — **λευκοθώραξ**: s bijelim oklopom. — 6. **τούτων**: v. str. 4. b. 4. — 7. **ἐχόμενοι**: do njih. — **γερροφόροι**: momčad s vrbovim štitom; perzijski je štit (γέρρον) bio od vrbova šiblja, imao je na donjem kraju šiljak pa se mogao u zemlju zabosti, te je iza njega vojnik strijeljao s luka. — **ποδήρης**: do nogu, do zemlje. — **ξύλινος**: drven. — 8. **Αἰγύπτιοι**: potomci onih, što su ih Kir Stariji i Kambis preselili u Aziju. — **ἄλλοι — ἄλλοι**: zatim — onda. — 9. **κατὰ ἔθνη**: po plemenima. — **πλαίσιον**: četverokut. — **πλήρης**: pun, s gen. copiae. — 10. **πρό**: pred. — **διαλείποντα συχνὸν ἀπό**: u velikom razmaku jedna od. — 11. **τὰ δή**: ona tako zvana srponosna; upravnik tih dvokolica sasvim je oklopljen, samo su mu oči slobodne. — 12. **ἀξών**: osovina. — **εἰς πλάγιον ἀποτεταμένα**: koso (k zemlji) pružene. — **ὑπό**: s gen. 'od', s dat. i ak. 'pod'. — **δίφρος**: sjedalo, koš. — 13. **ὡς διακόπτειν**: da rasijecaju. — **ὅτῳ**: ᾧτινι. — **ἐντυγχάνοιεν**: v. str. 2. b. 10. — **γνώμη**: nakana. — **ὡς**: da se zavezu (zalete) u redove i probiju ih, v. str. 2. b. 5. — 14. **μέντοι**: ali. — 15. **παρακελεύομαί τινι**: sokolim koga; hrabrio ih je, kad je prešao u Babiloniju. — **κραυγή**: vika. — **ἀνέχομαι**: podnosim. — **ἐψεύσθη τοῦτο**: prevari se u tom, v. str. 8. b. 11. (τὰ ἄλλα).

τοῦτο· οὐ γὰρ κραυγῇ, ἀλλὰ σιγῇ ὡς ἀνυστὸν καὶ ἡσυχῇ ἐν ἴσῳ καὶ βραδέως προσῇσαν.

Καὶ ἐν τούτῳ Κῦρος παρελαύνων αὐτὸς σὺν Πίγρητι τῷ ἑρμηνεῖ καὶ ἄλλοις τρισὶν ἢ τέτταρσι τῷ Κλεάρχῳ ἐβόα ἄγειν τὸ στράτευμα κατὰ μέσον τὸ τῶν πολεμίων, ὅτι ἐκεῖ βασιλεὺς εἴη· „κἂν τοῦτ᾽," ἔφη, „νικῶμεν, πάνθ᾽ ἡμῖν πεποίηται". ὁρῶν δὲ ὁ Κλέαρχος τὸ μέσον στῖφος καὶ ἀκούων Κύρου ἔξω ὄντα τοῦ εὐωνύμου βασιλέα — τοσοῦτον γὰρ πλήθει περιῆν βασιλεύς, ὥστε μέσον τῶν ἑαυτοῦ ἔχων τοῦ Κύρου εὐωνύμου ἔξω ἦν — ἀλλ᾽ ὅμως ὁ Κλέαρχος οὐκ ἤθελεν ἀποσπάσαι ἀπὸ τοῦ ποταμοῦ τὸ δεξιὸν κέρας, φοβούμενος, μὴ κυκλωθείη ἑκατέρωθεν, τῷ δὲ Κύρῳ ἀπεκρίνατο, ὅτι αὐτῷ μέλει, ὅπως καλῶς ἔχοι.

Καὶ ἐν τούτῳ τῷ καιρῷ τὸ μὲν βαρβαρικὸν στράτευμα ὁμαλῶς προῄει, τὸ δὲ Ἑλληνικὸν ἔτι ἐν τῷ αὐτῷ μένον συνετάττετο ἐκ τῶν ἔτι προσιόντων. καὶ ὁ Κῦρος παρελαύνων οὐ πάνυ πρὸς αὐτῷ τῷ στρατεύματι κατεθεᾶτο ἑκατέρωσε ἀποβλέπων εἴς τε τοὺς πολεμίους καὶ τοὺς φίλους. ἰδὼν δὲ αὐτὸν ἀπὸ τοῦ Ἑλληνικοῦ Ξενοφῶν Ἀθηναῖος, πελάσας ὡς συναντῆσαι ἤρετο, εἴ τι παραγγέλλοι· ὁ δ᾽ ἐπιστήσας εἶπε καὶ λέγειν ἐκέλευε πᾶσιν, ὅτι καὶ τὰ ἱερὰ καλὰ καὶ τὰ σφάγια καλά. ταῦτα δὲ

1. **ὡς ἀνυστόν**: dopuni ἦν, kako se samo moglo. — **ἡσυχῇ**: mirno. — **ἐν ἴσῳ**: u ravnom redu (bojnom). — 2. **βραδέως**: polagano.

3. **ἐν τούτῳ**: uto. — **παρελαύνων**: jašući mimo (pred bojnim redom helenskim). — **ἑρμηνεύς**: tumač. — 4. **βοάω**: vičem. — 5. **ὅτι**: jer, v. str. 18. b. 13. — **κἄν**: καὶ ἄν, καὶ ἐάν, v. str. 2. b. 8. — **τοῦτ᾽**: τὸ μέσον. — 6. **ἡμῖν**: ὑφ᾽ ἡμῶν, sve učinismo (postigosmo). — **ὁρῶν**: premda je. — **τὸ μέσον στῖφος**: rpu, četu u srijedi; 6.000 konjanika. — 7. **Κύρου**: od Kira; gl. 'čuti, razabrati od koga ili koga ili što' dolazi s gen. separat. — **ὄντα**: da je kralj, v. str. 3. b. 11. (βουλευομένους). — **τοῦ**: ἔξω (izvan). — 8. **περίειμι**: natkriljujem. — **ὥστε**: v. str. 3. b. 1. — **τῶν ἑαυτοῦ**: svoje vojske. — **ἔχων**: v. str. 1. b. 6. — **Κύρου**: gen. pos. — 9. **ὅμως**: ipak. — **ἀποσπάσαι**: odvući, odvesti. — 10. **μή**: v. str. 10. b. 10. — **κυκλόω**: opkoljujem. — **ἑκατέρωθεν**: s obje strane. — 11. **καλῶς ἔχοι**: da bude dobro, v. str. 3. b. 3. (ἐνοϊκῶς).

12. **καιρός**: čas. — **τὸ βαρβαρικόν**: kraljeva vojska. — **ὁμαλῶς**: v. b. 1. (ἐν ἴσῳ). — 13. **ἐν τῷ αὐτῷ**: na istom mjestu. — **συνετάττετο ἐκ**: vrstala se, jer su još nadolazili. — 14. **οὐ πάνυ πρός**: ne baš blizu do. — 15. **ἑκατέρωσε**: na obje strane t. j. εἰς τοὺς πολεμίους καὶ τοὺς φίλους. — 16. **πελάσας ὡς**: primače se, da se s njim sastane (συναντάω), i zapita; pođe mu ususret i zapita. Ksenofont nije bio ni vojnik ni časnik, zato je smio iz reda. — 17. **εἰ**: da li, v. str. 11. b. 7. (εἴη). — **ἐπιστήσας**: τὸν ἵππον; stavši. — 18. **ἱερά**: znamenja od utrobe žrtve. — **σφάγια**: znamenja od kretnjâ životinje, što se kolje. —

λέγων θορύβου ἤκουσε διὰ τῶν τάξεων ἰόντος, καὶ ἤρετο, τίς ὁ θόρυβος εἴη. ὁ δὲ εἶπεν, ὅτι σύνθημα παρέρχεται δεύτερον ἤδη. καὶ ὃς ἐθαύμασε, τίς παραγγέλλει, καὶ ἤρετο, ὅ τι εἴη τὸ σύνθημα. ὁ δ' ἀπεκρίνατο· Ζεὺς σωτὴρ καὶ Νίκη. ὁ δὲ Κῦρος ἀκούσας· „Ἀλλὰ δέχομαί τε“, ἔφη, „καὶ τοῦτο ἔστω“. ταῦτα δ' εἰπὼν εἰς τὴν αὑτοῦ χώραν ἀπήλαυνε.

Καὶ οὐκέτι τρία ἢ τέτταρα στάδια διειχέτην τὼ φάλαγγε ἀπ' ἀλλήλων, ἡνίκα ἐπαιάνιζόν τε οἱ Ἕλληνες καὶ ἤρχοντο ἀντίοι ἰέναι τοῖς πολεμίοις. ὡς δὲ πορευομένων ἐξεκύμαινέ τι τῆς φάλαγγος, τὸ ὑπολειπόμενον ἤρξατο δρόμῳ θεῖν· καὶ ἅμα ἐφθέγξαντο πάντες, οἷον τῷ Ἐνυαλίῳ ἐλελίζουσι, καὶ πάντες δὲ ἔθεον. λέγουσι δέ, ὥς τινες καὶ ταῖς ἀσπίσι πρὸς τὰ δόρατα ἐδούπησαν φόβον ποιοῦντες τοῖς ἵπποις. πρὶν δὲ τόξευμα ἐξικνεῖσθαι, ἐκκλίνουσιν οἱ βάρβαροι καὶ φεύγουσι. καὶ ἐνταῦθα δὴ ἐδίωκον μὲν κατὰ κράτος οἱ Ἕλληνες, ἐβόων δὲ ἀλλήλοις μὴ θεῖν δρόμῳ, ἀλλ' ἐν τάξει ἕπεσθαι. τὰ δ' ἅρματα ἐφέροντο τὰ μὲν δι' αὐτῶν τῶν πολεμίων, τὰ δὲ καὶ διὰ τῶν Ἑλλήνων κενὰ ἡνιόχων. οἱ δ' ἐπεὶ προΐδοιεν, διίσταντο· ἔστι δ' ὅστις καὶ κατελήφθη, ὥσπερ ἐν ἱπποδρόμῳ ἐκπλαγείς· καὶ οὐδὲν μέντοι οὐδὲ τοῦτον παθεῖν ἔφασαν, οὐδ' ἄλλος δὲ τῶν Ἑλλήνων ἐν ταύτῃ τῇ μάχῃ ἔπαθεν οὐδεὶς οὐδέν, πλὴν ἐπὶ τῷ εὐωνύμῳ τοξευθῆναί τις ἐλέγετο.

1. **θόρυβος**: buka, žamor; v. str. 25. b. 7. — **διὰ τῶν τάξεων**: kroz redove. — **ἰόντος**: str. 3. b. 11. — 2. **σύνθημα**: v. str. 6. b. 5. — **δεύτερον**: drugi put. — **καὶ ὅς**: i taj, i on. — 3. **παραγγέλλει**: nalaže, daje (geslo). — **ὅ τι εἴη**: kako glasi. — 5. **τοῦτο ἔστω**: bilo tako t. j. Zeus pomogao i dao pobjedu! — **χώρα**: mjesto.

6. **στάδιον**: neko 150 m. — **διέχω**: daleko sam — **φάλαγξ**: v. str. 7. b. 4. (πρό). — 7. **ἡνίκα**: kad. — **ἐπαιάνιζον**: v. str. 6. b. 5. — **ἀντίοι ἰέναι τοῖς**: ići protiv. — 8. **ὡς**: kako, kad (lat. ut). — **πορευομένων**: αὐτῶν, dok su oni polazili. — **ἐξεκύμαινε**: jedan dio falange odskoči (iz reda). — **τὸ ὑπολειπόμενον**: onaj (dio), što je zaostajao. — 9. **θέω**: trčim. — **φθέγγομαι**: glasim se, vičem. — **οἷον**: kako. — **τῷ Ἐνυαλίῳ**: ime Aresovo. — 10. **ἐλελίζω**: kličem ἐλελεῦ (ἀλαλά). — 11. **δουπέω**: udarajući bučim. — **πρίν**: v. str. 14. b. 9. — 12. **ἐξικνεῖσθαι**: prije nego ih je dohvatila strijela. — **ἐκκλίνουσιν**: okrenu. — 13. **κατὰ κράτος**: svom silom. — 14. **φέρομαι**: vozim se. — **τὰ μὲν — τὰ δέ**: v. str. 3. b. 11. — 15. **κενά**: prazna, bez. — **ἡνίοχος**: upravnik kola. — 16. **προΐδοιεν**: v. str. 2. b. 10. — **διίσταντο**: razmakli bi se. — **ἔστι — ὅστις**: gdjekoji; gdjekojega i zahvatiše, jer se zabezeknuo, kao u trkalištu, kad hoće da vidi kola, dolaze li, pa odviše odmakne, a ona iznenada dojure. — **ἱππόδρομος**: konjsko trkalište. — 17. **καὶ μέντοι**: pa ipak. — **οὐδὲν οὐδέ**: v. str. 9. b. 4. — 18. **πλήν**: osim što se pogovaralo. — 19. **τοξευθῆναι**: da je ustrijeljen.

Κῦρος δ' ὁρῶν τοὺς Ἕλληνας νικῶντας τὸ καθ' αὑτοὺς καὶ διώκοντας, ἡδόμενος καὶ προσκυνούμενος ἤδη ὡς βασιλεὺς ὑπὸ τῶν ἀμφ' αὐτόν, οὐδ' ὣς ἐξήχθη διώκειν, ἀλλὰ συνεσπειραμένην ἔχων τὴν τῶν σὺν ἑαυτῷ ἑξακοσίων ἱππέων τάξιν ἐπεμελεῖτο, ὅ τι ποιήσει βασιλεύς. καὶ γὰρ ᾔδει αὐτόν, ὅτι μέσον ἔχοι τοῦ Περσικοῦ στρατεύματος. καὶ πάντες δ' οἱ τῶν βαρβάρων ἄρχοντες μέσον ἔχοντες τὸ αὑτῶν ἡγοῦνται, νομίζοντες οὕτω καὶ ἐν ἀσφαλεστάτῳ εἶναι, ἢν ᾖ ἡ ἰσχὺς αὐτῶν ἑκατέρωθεν, καὶ εἴ τι παραγγεῖλαι χρῄζοιεν, ἡμίσει ἂν χρόνῳ αἰσθάνεσθαι τὸ στράτευμα. καὶ βασιλεὺς δὴ τότε μέσον ἔχων τῆς αὑτοῦ στρατιᾶς, ὅμως ἔξω ἐγένετο τοῦ Κύρου εὐωνύμου κέρατος. ἐπεὶ δ' οὐδεὶς αὐτῷ ἐμάχετο ἐκ τοῦ ἀντίου οὐδὲ τοῖς αὐτοῦ τεταγμένοις ἔμπροσθεν, ἐπέκαμπτεν ὡς εἰς κύκλωσιν. ἔνθα δὴ Κῦρος δείσας, μὴ ὄπισθεν γενόμενος κατακόψῃ τὸ Ἑλληνικόν, ἐλαύνει ἀντίος· καὶ ἐμβαλὼν σὺν τοῖς ἑξακοσίοις νικᾷ τοὺς πρὸ βασιλέως τεταγμένους καὶ εἰς φυγὴν ἔτρεψε τοὺς ἑξακισχιλίους, καὶ ἀποκτεῖναι λέγεται αὐτὸς τῇ ἑαυτοῦ χειρὶ Ἀρταγέρσην τὸν ἄρχοντα αὐτῶν.

Ὡς δ' ἡ τροπὴ ἐγένετο, διασπείρονται καὶ οἱ Κύρου ἑξακόσιοι εἰς τὸ διώκειν ὁρμήσαντες, πλὴν πάνυ ὀλίγοι ἀμφ' αὐτὸν κατελείφθησαν, σχεδὸν οἱ ὁμοτράπεζοι καλούμενοι. σὺν τούτοις δὲ ὢν καθορᾷ βασιλέα καὶ τὸ ἀμφ' ἐκεῖνον στῖφος· καὶ εὐθὺς οὐκ ἠνέσχετο, ἀλλ' εἰπών· „Τὸν ἄνδρα ὁρῶ,“ ἵετο ἐπ' αὐτὸν καὶ παίει κατὰ τὸ στέρνον καὶ τιτρώσκει

1. **νικάω**: pobijedio sam, v. str. 3. b. 11. — **τὸ καθ' αὑτούς**: čete pred sobom. — 2. **ἡδόμενος καί**: premda. — **προσκυνέομαι**: klanjaju mi se, v. str. 22. b. 3. — **ὑπὸ τῶν ἀμφ' αὐτόν**: pratnja njegova. — 3. **οὐδ' ὥς**: ni ovako ne dade se zavesti, da. — **συσπειράομαι**: smatam se; držeći četu na okupu. — **τῶν σὺν ἑαυτῷ**: svojih. — 4. **ἐπεμελεῖτο**: pazio je. — 5. **αὐτόν**: v. str. 20. b. 12. (τήν) — **ἔχοι**: v. str. 2. b. 4. — 6. **μέσον ἔχοντες τὸ αὑτῶν**: dese se u sredini svojega odjela i zapovijedaju. — 7. **ἐν ἀσφαλεστάτῳ**: na najsigurnijem mjestu. — **ἤν**: ἐάν, v. str. 2. b. 8. — 8. **χρῄζω**: trebam, želim; v. str. 12. b. 13. (ἄ). — **ἡμίσει χρόνῳ**: za pola vremena. — **ἄν**: sastavi s αἰσθάνεσθαι, inf. mjesto opt. radi νομίζοντες. — 9. **ἔχων**: premda se desio u. — 10. **ἐγένετο**: stajaše. — **ἐπεί**: jer. — **αὐτῷ**: v. str. 4. b. 5. — 11. **αὐτοῦ**: sastavi s ἔμπροσθεν, pred njim. — **ἐπέκαμπτεν ὡς εἰς**: stade zakretati, da opkoli (neprijatelja). — 12. **μή**: v. str. 10. b. 10. — **ὄπισθεν**: straga. — **γενόμενος**: došavši. — 13. **ἐλαύνει**: krene. — **ἐμβάλλω**: navaljujem.

17. **ὡς**: kad. — **τροπή**: bijeg. — **διασπείρομαι**: raspršam se. — **εἰς τὸ — ὁρμήσαντες**: jer udariše progoniti, v. str. 4. b. 2. — 18. **πλήν**: osim što. — **πάνυ**: veoma. — **κατελείφθησαν**: ostadoše. — 19. **σχεδόν**: gotovo samo. — **ὁμοτράπεζοι**: drugovi za stolom; radi vjernosti jeli su u Kira. — 20. **εὐθὺς οὐκ**: ni časak više. — 21. **ἵεμαι**: srćem. — **παίω**: udaram. — **στέρνον**: prsa. —

διὰ τοῦ θώρακος, ὥς φησι Κτησίας ὁ ἰατρός, καὶ ἰᾶσθαι αὐτὸς τὸ τραῦμά φησι.

Παίοντα δ᾽ αὐτὸν ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλμὸν βιαίως· καὶ ἐνταῦθα μαχόμενοι καὶ βασιλεὺς καὶ Κῦρος καὶ οἱ ἀμφ᾽ αὐτοὺς ὑπὲρ ἑκατέρου, ὁπόσοι μὲν τῶν ἀμφὶ βασιλέα ἀπέθνῃσκον, Κτησίας λέγει· παρ᾽ ἐκείνῳ γὰρ ἦν· Κῦρος δὲ αὐτός τε ἀπέθανε καὶ ὀκτὼ οἱ ἄριστοι τῶν περὶ αὐτὸν ἔκειντο ἐπ᾽ αὐτῷ. Ἀρταπάτης δ᾽, ὁ πιστότατος αὐτῷ τῶν σκηπτούχων θεράπων, λέγεται, ἐπειδὴ πεπτωκότα εἶδε Κῦρον, καταπηδήσας ἀπὸ τοῦ ἵππου περιπεσεῖν αὐτῷ. καὶ οἱ μέν φασι βασιλέα κελεῦσαί τινα ἐπισφάξαι αὐτὸν Κύρῳ, οἱ δὲ ἑαυτὸν ἐπισφάξασθαι σπασάμενον τὸν ἀκινάκην· εἶχε γὰρ χρυσοῦν· καὶ στρεπτὸν δ᾽ ἐφόρει καὶ ψέλια καὶ τἆλλα, ὥσπερ οἱ ἄριστοι Περσῶν· ἐτετίμητο γὰρ ὑπὸ Κύρου δι᾽ εὔνοιάν τε καὶ πιστότητα.

8. Život i značaj Kirov.

(I. 9.)

Κῦρος μὲν οὖν οὕτως ἐτελεύτησεν, ἀνὴρ ὢν Περσῶν τῶν μετὰ Κῦρον τὸν ἀρχαῖον γενομένων βασιλικώτατός τε καὶ ἄρχειν ἀξιώτατος, ὡς παρὰ πάντων ὁμολογεῖται τῶν Κύρου δοκούντων ἐν πείρᾳ γενέσθαι. πρῶτον μὲν γὰρ ἔτι παῖς ὤν, ὅτ᾽ ἐπαιδεύετο καὶ σὺν τῷ ἀδελφῷ καὶ σὺν τοῖς ἄλλοις παισί, πάντων πάντα κράτιστος ἐνομίζετο. πάντες γὰρ

1. **Κτησίας**: iz Knida u Kariji, liječnik i povjesničar, živi 17 godina na dvoru perzijskom; napisao je Περσικά i Ἰνδικά (perzijsku i indijsku povijest). — **ἰᾶσθαι**: da je liječio. — 2. **τραῦμα**: rana.

3. **ἀκοντίζω**: bacam, pogađam kopljem. — **ὑπό**: v. str. 24. b. 12. — **βιαίως**: silovito, žestoko. — 5. **ὁπόσοι**: pitanje; Ktesija veli, koliko je pratnje palo, dok su se kralj, Kir i njihovi ljudi, svaki za svoga borili. — 8. **τῶν σκηπτούχων**: v. str. 22. b. 5. — **θεράπων**: sluga, dvoranin. — 9. **οἱ μέν**: v. str. 3. b. 11. — 10. **τινά**: subj. od ἐπισφάξαι (ἐπισφάττω τινί, koljem, ubijam na) a αὐτόν je obj. — **ἑαυτόν**: da se sam (Artapat) ubio. — **σπάω**: trgnem. — 11. **ἀκινάκης**: sablja. — **χρυσοῦν** pozlaćenu. — **στρεπτός, ψέλιον**: v. str. 16. b. 9. i 10. — **φορέω**: nosim — 13. **δι᾽**: v. str. 11. b. 13.

14. **ὤν**: a bio je. — **τῶν**: od onih, koji su bili (živjeli). — **μετά** v. str. 8. b. 14. — 15. **βασιλικός**: podoban za kralja. — 16. **παρά**: v str. 9. b. 13. — **ὁμολογέω**: priznajem. — **τῶν δοκούντων**: za koje se misli da. — **ἐν πείρᾳ τινὸς γίγνομαι**: upoznajem se s kim. — 17. **παῖς ὤν**: kao dječak. — **ὅτ᾽**: ὅτε. — 18. **πάντων**: od svih. — **πάντα**: ak. obzira, u

οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπὶ ταῖς βασιλέως θύραις παιδεύονται· ἔνθα πολλὴν μὲν σωφροσύνην καταμάθοι ἄν τις, αἰσχρὸν δ᾽ οὐδὲν οὔτ᾽ ἀκοῦσαι οὔτ᾽ ἰδεῖν ἔστι. θεῶνται δ᾽ οἱ παῖδες καὶ τιμωμένους ὑπὸ βασιλέως καὶ ἀκούουσι, καὶ ἄλλους ἀτιμαζομένους· ὥστε εὐθὺς παῖδες ὄντες μανθάνουσιν ἄρχειν τε καὶ ἄρχεσθαι. ἔνθα Κῦρος αἰδημονέστατος μὲν πρῶτον τῶν ἡλικιωτῶν ἐδόκει εἶναι, τοῖς τε πρεσβυτέροις καὶ τῶν ἑαυτοῦ ὑποδεεστέρων μᾶλλον πείθεσθαι, ἔπειτα δὲ φιλιππότατος καὶ τοῖς ἵπποις ἄριστα χρῆσθαι· ἔκρινον δ᾽ αὐτὸν καὶ τῶν εἰς τὸν πόλεμον ἔργων, τοξικῆς τε καὶ ἀκοντίσεως, φιλομαθέστατον εἶναι καὶ μελετηρότατον. ἐπεὶ δὲ τῇ ἡλικίᾳ ἔπρεπε, καὶ φιλοθηρότατος ἦν καὶ πρὸς τὰ θηρία μέντοι φιλοκινδυνότατος. καὶ ἄρκτον ποτὲ ἐπιφερομένην οὐκ ἔτρεσεν, ἀλλὰ συμπεσὼν κατεσπάσθη ἀπὸ τοῦ ἵππου, καὶ τὰ μὲν ἔπαθεν, ὧν καὶ τὰς ὠτειλὰς εἶχεν, τέλος δὲ κατέκανε· καὶ τὸν πρῶτον μέντοι βοηθήσαντα πολλοῖς μακαριστὸν ἐποίησεν.

Ἐπεὶ δὲ κατεπέμφθη ὑπὸ τοῦ πατρὸς σατράπης Λυδίας τε καὶ Φρυγίας τῆς μεγάλης καὶ Καππαδοκίας, στρατηγὸς δὲ καὶ πάντων ἀπεδείχθη, οἷς καθήκει εἰς Καστωλοῦ πεδίον ἀθροίζεσθαι, πρῶτον μὲν ἐπέδειξεν αὑτόν, ὅτι περὶ πλείστου ποιοῖτο, εἴ τῳ σπείσαιτο καὶ εἴ τῳ

svemu. — 1. **ἐπὶ ταῖς θύραις**: na vratima, na dvoru; isporedi 'visoka porta', dvor sultanov. — 2. **σωφροσύνη**: čednost. — **καταμάθοι ἄν τις**: može tkogod naučiti. — 3. **ἔστι**: ἔξεστι. — **θεῶνται**: vide (na svoje oči) i čuju (po kazivanju i oglašivanju), da kralj neke odlikuje a druge ponizuje; v. str. 3. b. 11. — 4. **ὥστε**: v. str. 4. b. 4. — **εὐθὺς — ὄντες**: odmah kao. — 5. **ἄρχομαι**: pokoravam se. — **αἰδήμων**: čedan. — 6. **ἐδόκει**: vidjelo se. — **τοῖς πρεσβυτέροις**: sastavi sa πείθεσθαι. — **τῶν ὑποδεεστέρων**: gen. comparat. radi μᾶλλον. — 7. **ἑαυτοῦ**: gen. comparat. radi ὑποδεεστέρων; da sluša starije više nego niži od njega. — **φιλιππότατος**: dopuni ἐδόκει εἶναι, da najvoli konje. — 8. **ἔκρινον**: sudili su, da veoma rado uči i vježba se u bojnim vježbama. — 9. **τοξική**: strijeljanje s luka. — **ἀκόντισις**: bacanje koplja. — 10. **ἡλικία**: dob. — **πρέπει**: dolikuje; istom kao efeb smio je u lov. — **φιλόθηρος**: koji voli lov. — **πρός**: prema. — 11. **μέντοι**: zaista. — **φιλοκίνδυνος**: smion. — **ἄρκτος**: medvjed. — **ἐπιφέρομαι**: navaljujem. — **τρέω τινά**: prepadam se od. — 12. **συμπίπτω**: sukobim se. — **κατασπάω ἀπό**: skidam, obaram sa. — **τὰ μὲν — τέλος δέ**: ovamo je pretrpio, s čega je imao one brazgotine (ὠτειλή), a onamo napokon (τέλος, adverbijal. ak.). — 13. **κατακαίνω**: ubijam. — **βοηθέω**: pomažem, dolazim u pomoć. — 14. **πολλοῖς**: muški rod. — **μακαριστόν τινά τινι ποιέω**: činim, te netko (τινί) nekomu (τινά) zavidi radi sreće.

15. **σατράπης**: za satrapa, v. str. 1. b. 5. — 17. **καθήκει μοι**: moram. — **Καστωλοῦ πεδίον**: v. str. 1. b. 6. — 18. **αὐτόν**: v. str. 20. b. 12. (τήν); pokaza, da on. — **περὶ πλείστου ποιέομαι**: najviše cijenim, v. str. 2. b. 4. — **τῳ**: τινί. — **σπένδω**: lijem žrtvu, med. sklapam ugovor (javno s ne-

συνθοῖτο καὶ εἴ τῳ ὑπόσχοιτό τι, μηδαμῶς ψεύδεσθαι. καὶ γὰρ οὖν ἐπίστευον μὲν αὐτῷ αἱ πόλεις ἐπιτρεπόμεναι, ἐπίστευον δ' οἱ ἄνδρες· καὶ εἴ τις πολέμιος ἐγένετο, σπεισαμένου Κύρου ἐπίστευε μηδὲν ἂν παρὰ τὰς σπονδὰς παθεῖν. τοιγαροῦν ἐπεὶ Τισσαφέρνει ἐπολέμησε, πᾶσαι αἱ πόλεις ἑκοῦσαι Κῦρον εἵλοντο ἀντὶ Τισσαφέρνους πλὴν Μιλησίων· οὗτοι δέ, ὅτι οὐκ ἤθελε τοὺς φεύγοντας προέσθαι, ἐφοβοῦντο αὐτόν. καὶ γὰρ ἔργῳ ἐπεδείκνυτο καὶ ἔλεγεν, ὅτι οὐκ ἄν ποτε προοῖτο, ἐπεὶ ἅπαξ φίλος αὐτοῖς ἐγένετο, οὐδ' εἰ ἔτι μὲν μείους γένοιντο, ἔτι δὲ κάκιον πράξειαν.

Φανερὸς δ' ἦν καί, εἴ τίς τι ἀγαθὸν ἢ κακὸν ποιήσειεν αὐτόν, νικᾶν πειρώμενος· καὶ εὐχὴν δέ τινες αὐτοῦ ἐξέφερον, ὡς εὔχοιτο τοσοῦτον χρόνον ζῆν, ἔστε νικῴη καὶ τοὺς εὖ καὶ τοὺς κακῶς ποιοῦντας ἀλεξόμενος. καὶ γὰρ οὖν πλεῖστοι δὴ αὐτῷ ἐνί γε ἀνδρὶ τῶν ἐφ' ἡμῶν ἐπεθύμησαν καὶ χρήματα καὶ πόλεις καὶ τὰ ἑαυτῶν σώματα προέσθαι. οὐ μὲν δὴ οὐδὲ τοῦτ' ἄν τις εἴποι, ὡς τοὺς κακούργους καὶ ἀδίκους εἴα καταγελᾶν, ἀλλὰ ἀφειδέστατα πάντων ἐτιμωρεῖτο· πολλάκις δ' ἦν ἰδεῖν παρὰ τὰς στειβομένας ὁδοὺς καὶ ποδῶν καὶ χειρῶν καὶ ὀφθαλμῶν στε-

prijateljem); v. str. 2. b. 10. — 1. ***συντίθεμαι***: nagađam se (u običnom životu). — ***ψεύδεσθαι***: zavisno o περὶ πλείστου ποιοῖτο. — ***καὶ γὰρ οὖν***: pa stoga. — 2. ***ἐπιτρεπόμεναι***: ako bi mu se povjerili. — ***οἱ ἄνδρες***: pojedini ljudi. — 3. ***εἰ ἐγένετο***: ako je bio. — ***ἄν παθεῖν***: da mu se ne će dogoditi, v. str. 9. b. 8. — ***παρὰ τὰς σπονδάς***: mimo ugovor. — 4. ***τοιγαροῦν***: stoga. — ***ἐπολέμησε***: zavojšti na, v. str. 4. b. 5. — 5. ***ἑκών***: drage volje, v. str. 5. b. 2. — ***αἱρέομαι ἀντί***: volim nego. — 6. ***ὅτι***: jer. — ***οἱ φεύγοντες***. izgnanici, v. str. 3. redak 12. sl. — ***προέσθαι***: odbaciti. — ***ἐφοβοῦντο***: Milećani su se bojali, ako se vrate izgnanici, promijenit će se opet uprava u gradu. — 8. ***μείους γένοιντο***: ni ako bi još neznatniji bili, v. str. 12. b. 13. (ἄ). — ***κακῶς, κάκιον πράττω***: zlo, gore mi je; pa ako bi ih još gora nevolja snašla.

9. ***φανερὸς ἦν πειρώμενος***: očevidno je nastojao, v. str. 1. b. 4. — ***ποιήσειεν***: v. str. 2. b. 10. — ***αὐτόν***: njemu (Kiru); v. str. 4. b. 14. (τούς). — 10. ***νικᾶν***: natkriliti t. j. da mu još više koristi ili škodi. — ***εὐχή***: želja. — ***ἐκφέρω***: iznosim, pominjem. — ***εὔχοιτο***: v. str. 2. b. 4. — 11. ***ἔστε***: dok. — ***νικῴη***: poslije sporednoga vremena stoji u indirektnom govoru optativ mjesto indikativa, a isto tako mj. konj. s ἄν. — 12. ***ἀλέξομαι***: branim se, naplaćujem, vraćam milo za drago. — ***πλεῖστοι τῶν ἐφ' ἡμῶν***: većina savremenikâ. — 13. ***ἐπιθυμέω***: želim. — ***προΐημι***: predajem. — 14. ***οὐ μὲν δὴ οὐδέ***: no opet ni. — 15. ***καταγελάω***: smijem se, podrugujem se. — ***ἀφειδέστατα***: nemilice. — ***πάντων***: gen. part., od svih. — ***τιμωρέομαι***: osvećujem se, kaznim. — 16. ***παρά***: pokraj. — ***στειβομένας***: kojima se prolazilo. — ***στέρομαι***: lišen sam, jesam bez; gl. 'lišiti' zahtijeva gen. inopiae. —

ρομένους ἀνθρώπους· ὥστ' ἐν τῇ Κύρου ἀρχῇ ἐγένετο καὶ Ἕλληνι καὶ βαρβάρῳ μηδὲν ἀδικοῦντι ἀδεῶς πορεύεσθαι, ὅπῃ τις ἤθελεν, ἔχοντι, ὅ τι προχωροίη.

Τούς γε μέντοι ἀγαθοὺς εἰς πόλεμον ὡμολόγητο διαφερόντως τιμᾶν. καὶ πρῶτον μὲν ἦν αὐτῷ πόλεμος πρὸς Πισίδας καὶ Μυσούς. στρατευόμενος οὖν καὶ αὐτὸς εἰς ταύτας τὰς χώρας, οὓς ἑώρα ἐθέλοντας κινδυνεύειν, τούτους καὶ ἄρχοντας ἐποίει ἧς κατεστρέφετο χώρας, ἔπειτα δὲ καὶ ἄλλοις δώροις ἐτίμα· ὥστε φαίνεσθαι τοὺς μὲν ἀγαθοὺς εὐδαιμονεστάτους, τοὺς δὲ κακοὺς δούλους τούτων ἀξίως εἶναι. τοιγαροῦν πολλὴ ἦν ἀφθονία αὐτῷ τῶν ἐθελόντων κινδυνεύειν, ὅπου τις οἴοιτο Κῦρον αἰσθήσεσθαι.

Εἴς γε μὴν δικαιοσύνην εἴ τις φανερὸς γένοιτο ἐπιδείκνυσθαι βουλόμενος, περὶ παντὸς ἐποιεῖτο τούτους πλουσιωτέρως ζῆν ποιεῖν τῶν ἐκ τοῦ ἀδίκου φιλοκερδούντων. καὶ γὰρ οὖν ἄλλα τε πολλὰ δικαίως αὐτῷ διεχειρίζετο καὶ στρατεύματι ἀληθινῷ ἐχρήσατο. καὶ γὰρ στρατηγοὶ καὶ λοχαγοί, οἳ χρημάτων ἕνεκα πρὸς ἐκεῖνον ἔπλευσαν, ἔγνωσαν κερδαλεώτερον εἶναι Κύρῳ καλῶς ὑπάρχειν ἢ τὸ κατὰ μῆνα κέρδος. ἀλλὰ μὴν εἴ γέ τίς τι αὐτῷ προστάξαντι καλῶς ὑπηρετήσειεν, οὐδενὶ πώποτε ἀχάριστον εἴασε τὴν προθυμίαν. τοιγαροῦν δὴ κράτιστοι ὑπηρέται παντὸς

1. ***ὥστε***: v. str. 4. b. 14. — ***ἀρχή***: oblast, pokrajina. — ***ἐγένετο — πορεύεσθαι***: mogao je Helen i barbarin putovati. — 2. ***μηδὲν ἀδικοῦντι***: ako nije bio ništa kriv. — ***ἀδεῶς***: bez straha. — ***ἔχοντι, ὅ τι***: s čim bi ga volja bilo (προχωρεῖ, prikladno je, s voljom je), v. str. 2. b. 10. (ἀφικνοῖτο).

4. ***μέντοι***: ali. — ***ὡμολόγητο τιμᾶν***: priznavalo se, da cijeni. — ***διαφερόντως***: osobito. — 5. ***Πισίδας***: v. str. 21. b. 3. — 6. ***ἐθέλοντας***: v. str. 3. b. 11. — 7. ***ἧς***: χώρας, ἥν; v. str. 4. b. 8. (ὧν). — ***καταστρέφομαι***: pokoravam. — 8. ***ὥστε φαίνεσθαι***: stoga se činilo, v. str. 3. b. 1. — ***φαίνομαι***: s inf. znači 'činiti se'. — 10. ***ἀφθονία***: obilje, mnoštvo. — ***οἴοιτο***: v. str. 2. b. 10.

12. ***μήν***: a. — ***εἰς δικαιοσύνην***: poštenjem. — ***φανερὸς γένοιτο βουλόμενος***: očevidno bi htio; v. str. 30. b. 9. — ***ἐπιδείκνυμαι***: ističem se. — 13. ***περὶ παντὸς ποιέομαι***: nada sve cijenim. — ***τούτους ζῆν***: zavisno o ποιεῖν a ποιεῖν o περὶ παντὸς ἐποιεῖτο; da učini, te će oni živjeti bogatije od. — ***ἐκ τοῦ ἀδίκου***: nepošteno. — 14. ***φιλοκερδέω***: hoću da obogatim. — ***δικαίως***: čestito. — ***αὐτῷ***: za njega. — 15. ***διαχειρίζω***: upravljam. — ***ἀληθινός***: prav, valjan. — ***ἐχρήσατο***: imao je. — 16. ***λοχαγός***: v. str. 3. b. 7. — ***κερδαλέος***: koristan. — 17. ***ὑπάρχω***: služim. — ***τὸ κατὰ μῆνα κέρδος***: mjesečni dobitak, mjesečna plaća. — ***ἀλλὰ μήν***: ali zaista. — 18. ***προστάξαντι***: na zapovijed. — ***ὑπηρετέω***: služim; v. str. 2. b. 10. — ***ἀχάριστος***: bez zahvale, nenagrađen. — 19. ***προθυμία***: odanost, dobra volja. — ***ὑπηρέτης παντὸς ἔργου***: pomagač u. —

ἔργου Κύρῳ ἐλέχθησαν γενέσθαι. εἰ δέ τινα ὁρῴη δεινὸν ὄντα οἰκονόμον ἐκ τοῦ δικαίου καὶ κατασκευάζοντά τε ἧς ἄρχοι χώρας καὶ προσόδους ποιοῦντα, οὐδένα ἂν πώποτε ἀφείλετο, ἀλλ' ἀεὶ πλείω προσεδίδου· ὥστε καὶ ἡδέως ἐπόνουν καὶ θαρραλέως ἐκτῶντο καί, ὃ ἐπέπατό τις, ἥκιστα Κῦρον ἔκρυπτεν· οὐ γὰρ φθονῶν τοῖς φανερῶς πλουτοῦσιν ἐφαίνετο, ἀλλὰ πειρώμενος χρῆσθαι τοῖς τῶν ἀποκρυπτομένων χρήμασι.

Φίλους γε μὴν ὅσους ποιήσαιτο καὶ εὔνους γνοίη ὄντας καὶ ἱκανοὺς κρίνειε συνεργοὺς εἶναι, ὅ τι τυγχάνοι βουλόμενος κατεργάζεσθαι, ὁμολογεῖται πρὸς πάντων κράτιστος δὴ γενέσθαι θεραπεύειν. καὶ γὰρ αὐτὸ τοῦτο, οὗπερ αὐτὸς ἕνεκα φίλων ᾤετο δεῖσθαι, ὡς συνεργοὺς ἔχοι, καὶ αὐτὸς ἐπειρᾶτο συνεργὸς τοῖς φίλοις κράτιστος εἶναι τούτου, ὅτου αἰσθάνοιτο ἕκαστον ἐπιθυμοῦντα. δῶρα δὲ πλεῖστα μέν, οἶμαι, εἷς γε ἀνὴρ ἐλάμβανε διὰ πολλά· ταῦτα δὲ πάντων δὴ μάλιστα τοῖς φίλοις διεδίδου, πρὸς τοὺς τρόπους ἑκάστου σκοπῶν καὶ ὅτου μάλιστα ὁρῴη ἕκαστον δεόμενον. καὶ ὅσα τῷ σώματι αὐτοῦ πέμποι τις ἢ ὡς εἰς πόλεμον ἢ ὡς εἰς καλλωπισμόν, καὶ περὶ τούτων λέγειν αὐτὸν ἔφασαν, ὅτι τὸ μὲν ἑαυτοῦ σῶμα οὐκ ἂν δύναιτο τούτοις πᾶσι κοσμηθῆναι, φί-

1. **ἐλέχθησαν**: reklo se, da su bili. — **ὁρῴη**: v. str. 2. b. 10. — **δεινός**: vrstan. — **οἰκονόμος**: gospodar. — 2. **ἐκ τοῦ δικαίου**: na pošten način; vrsna a poštena gospodara. — **κατασκευάζω**: dobro obrađujem. — **ἧς**: τὴν χώραν, ἧς. — **ἄρχω**: gospodar sam, v. str. 4. b. 4. — **προσόδους ποιέω**: stječem dohotke, imovinu. — 3. **ἀφαιρέομαι τινά τι**: v. str. 8. b. 15. — 4. **ἡδέως**: rado. — **θαρραλέως**: hrabro, bez straha. — **πέπαμαι**: stekao sam, imam. — **ἥκιστα**: najmanje. — 5. **κρύπτω τινά τι**: krijem komu što. — **φθονῶν φαίνομαι**: očevidno zavidim, v. str. 1. b. 4. — **φανερῶς πλουτέω**: očevidno sam bogat, ne krijem bogatstva svoga. — 6. **πειρώμενος**: sastavi sa ἐφαίνετο. — **τῶν ἀποκρυπτομένων**: dopuni χρήματα; onih, koji su krili (svoje blago).

7. **φίλους**: koliko bi stekao prijatelja i vidio, v. str. 2. b. 10. — **ὄντας**: v. str. 3. b. 11. — **ἱκανός**: vrstan. — 8. **συνεργός**: pomagač. — **ὅ τι**: u tom, što. — **τυγχάνοι**: v. str. 1. b. 4. — 9. **ὁμολογεῖται πρὸς πάντων**: priznaje se od svih, da je bio najpodobniji; umio je najbolje. — **θεραπεύειν**: αὐτούς (φίλους), ugađati njima. — 10. **αὐτὸ τοῦτο**: baš zato. — **οὗπερ**: sastavi sa ἕνεκα. — **φίλων**: sastavi s δεῖσθαι (trebati). — **ὡς**: eda bi — 11. **καὶ**: također, nastavlja se ono αὐτὸ τοῦτο. — **τούτου**: sastavi sa συνεργός, u tom. — **ὅτου**: οὗτινος, gen. part. uz gl. 'težiti, željeti'. — 12. **εἷς γε ἀνήρ**: on — jedan čovjek t. j. koliko može jedan čovjek. — 13. **διὰ πολλά**: s mnogih razloga. — **πάντων μάλιστα**: od svih ljudi najviše. — 14. **καὶ ὅτου**: i na to, što; gen. radi δεόμενον, v. str. 3. b. 11. — **ὁρῴη**: v. str. 2. b. 10. — 15. **τῷ σώματι**: za tijelo. — **ἢ ὡς εἰς**: ili kao za rat; misli se oružje. — 16. **καλλωπισμός**: nakit. — 17. **τούτοις πᾶσι**: svim

λους δὲ καλῶς κεκοσμημένους μέγιστον κόσμον ἀνδρὶ νομίζοι. καὶ τὸ μὲν τὰ μεγάλα νικᾶν τοὺς φίλους εὖ ποιοῦντα οὐδὲν θαυμάσιον, ἐπειδή γε καὶ δυνατώτερος ἦν· τὸ δὲ τῇ ἐπιμελείᾳ περιεῖναι τῶν φίλων καὶ τῷ προθυμεῖσθαι χαρίζεσθαι, ταῦτα ἔμοιγε μᾶλλον δοκεῖ ἀγαστὰ εἶναι. Κῦρος γὰρ ἔπεμπε βίκους οἴνου ἡμιδεεῖς πολλάκις, ὁπότε πάνυ ἡδὺν λάβοι, λέγων, ὅτι οὔπω δὴ πολλοῦ χρόνου τούτου ἡδίονι οἴνῳ ἐπιτύχοι· „τοῦτον οὖν σοι ἔπεμψε καὶ δεῖταί σου τήμερον τοῦτον ἐκπιεῖν σὺν οἷς μάλιστα φιλεῖς.“ πολλάκις δὲ χῆνας ἡμιβρώτους ἔπεμπε καὶ ἄρτων ἡμίσεα καὶ ἄλλα τοιαῦτα, ἐπιλέγειν κελεύων τὸν φέροντα· „Τούτοις ἥσθη Κῦρος· βούλεται οὖν καὶ σὲ τούτων γεύσασθαι.“ ὅπου δὲ χιλὸς σπάνιος πάνυ εἴη, αὐτὸς δὲ δύναιτο παρασκευάσασθαι διὰ τὸ πολλοὺς ἔχειν ὑπηρέτας καὶ διὰ τὴν ἐπιμέλειαν, διαπέμπων ἐκέλευε τοὺς φίλους τοῖς τὰ ἑαυτῶν σώματα ἄγουσιν ἵπποις ἐμβάλλειν τοῦτον τὸν χιλόν, ὡς μὴ πεινῶντες τοὺς ἑαυτοῦ φίλους ἄγωσιν. εἰ δὲ δή ποτε πορεύοιτο καὶ πλεῖστοι μέλλοιεν ὄψεσθαι, προσκαλῶν τοὺς φίλους ἐσπουδαιολογεῖτο, ὡς δηλοίη, οὓς τιμᾷ. ὥστε ἐγὼ μὲν γε, ἐξ ὧν ἀκούω, οὐδένα κρίνω ὑπὸ πλειόνων πεφιλῆσθαι οὔτε Ἑλλήνων οὔτε βαρβάρων. τεκμήριον δὲ τούτου καὶ τόδε· παρὰ μὲν Κύρου, δούλου ὄντος, οὐδεὶς ἀπῄει πρὸς

time. — 1. **ἀνδρί**: za čovjeka. — 2. **τὸ νικᾶν**: subj.; to, što je on natkrilio prijatelje, iskazujući im. — **τὰ μεγάλα**: unutr. obj. od εὖ ποιοῦντα, v. str. 8. b. 11.; velike blagodati. — **θαυμάσιος**: čudan. — **ἐπειδή γε**: kad, jer. — 3. **δυνατώτερος**: imućniji. — **τὸ δὲ περιεῖναι τῶν**: a što je natkrilio prijatelje. — **τῇ ἐπιμελείᾳ**: brigom (za prijatelje). — **τῷ προθυμεῖσθαι**: voljom; v. str. 4. b. 2. — 4. **χαρίζομαι**: ugađam. — **ταῦτα**: mj. τοῦτο radi pojmova 'briga, volja'. — **μᾶλλον ἀγαστά**: još divnije. — 5. **βῖκος**: vrč. — **ἡμιδεής**: nàpô ispit. — **ὁπότε**: kadgod. — 6. **λάβοι**: v. str. 2. b. 10. — **λέγων**: poručujući. — **πολλοῦ χρόνου**: već dugo. — **τούτου**: οἴνου, gen. comparat. — **ἐπιτυγχάνω τινί**: namjerim se na; v. str. 2. b. 4. (ὡς). — 7. **δέομαί τινος**: v. str. 5. b. 8. — **τήμερον**: danas. — **οἷς**: τούτοις, οὓς; v. str. 4. b. 8. (ὧν). — 8. **χήν**: guska. — **ἡμίβρωτος**: napo pojeden; polovice gusaka. — **ἄρτων ἡμίσεα**: polovice hljebova. — 9. **ἐπιλέγω**: kazujem k tomu. — **τούτοις ἥδομαι**: to mi ide u slast; v. str. 8. b. 9. — 10. **γεύομαί τινος**: kušati što; part. gen. uz gl. 'jesti, piti, kušati, uživati'. — **χιλός**: krma. — 11. **σπάνιος**: rijedak, malo. — **πάνυ**: sastavi sa σπάνιος. — **διὰ τὸ ἔχειν**: jer je imao; v. str. 4. b. 2. — 12. **διαπέμπων**: τὸν χιλόν, razašiljući. — 13. **τοῖς ἄγουσιν**: pred konje, koji nose. — **ἐμβάλλω**: bacam pred. — 14. **πεινάω**: gladan sam. — 15. **ὄψεσθαι**: μέλλω se rado slaže s inf. fut. — **σπουδαιολογέομαι**: razgovaram se o ozbiljnim stvarima. — 16. **δηλόω**: pokazujem. — **ἐξ ὧν**: ἐκ τούτων, ἅ; v. str. 4. b. 8. — 17. **τεκμήριον**: dokaz. — 18. **δούλου ὄντος**: premda je bio

βασιλέα, πλὴν Ὀρόντας ἐπεχείρησε· καὶ οὗτος δή, ὃν ᾤετο πιστόν οἱ εἶναι, ταχὺ αὐτὸν ηὗρε Κύρῳ φιλαίτερον ἢ ἑαυτῷ· παρὰ δὲ βασιλέως πολλοὶ πρὸς Κῦρον ἀπῆλθον, ἐπειδὴ πολέμιοι ἀλλήλοις ἐγένοντο, καὶ οὗτοι μέντοι οἱ μάλιστα ἑαυτοὺς ἀγάμενοι, νομίζοντες παρὰ Κύρῳ ὄντες ἀγαθοὶ ἀξιωτέρας ἂν τιμῆς τυγχάνειν ἢ παρὰ βασιλεῖ. μέγα δὲ τεκμήριον καὶ τὸ ἐν τῇ τελευτῇ τοῦ βίου αὐτῷ γενόμενον, ὅτι καὶ αὐτὸς ἦν ἀγαθὸς καὶ κρίνειν ὀρθῶς ἐδύνατο τοὺς πιστοὺς καὶ εὔνους καὶ βεβαίους. ἀποθνῄσκοντος γὰρ αὐτοῦ πάντες οἱ περὶ αὐτὸν φίλοι καὶ συντράπεζοι ἀπέθανον μαχόμενοι ὑπὲρ Κύρου πλὴν Ἀριαίου· οὗτος δὲ τεταγμένος ἐτύγχανεν ἐπὶ τῷ εὐωνύμῳ τοῦ ἱππικοῦ ἄρχων· ὡς δ' ᾔσθετο Κῦρον πεπτωκότα, ἔφυγεν ἔχων καὶ τὸ στράτευμα πᾶν, οὗ ἡγεῖτο.

9. Heleni se ne predaju.

(II. 1., 10.—23.)

Kiru odsijeku glavu i desnu ruku. Kralj desnim krilom, koje se još nije ni pobilo — stajalo je izvan bojnoga reda Kirova —, natjera Arijeja, zauzme tabor Kirov i oplijeni ga. Arijej zamakne u mjesto, iz kojega su jutros bili krenuli (neko 18 km daleko). Tisaferno, koji se jedini na lijevom krilu održao protiv Helena, protisnu se između lakih pješaka helenskih, stigne taboru helenskomu, koji je bio do Kirova, i javi kralju, da su Heleni razbili lijevo krilo njegovo te ga progone. Kralj ostavi tabor Kirov i hoće da prođe pokraj Helena, koji su se vraćali, da spasu tabor svoj, što ga je branila momčad, koja je u njemu bila ostala. Heleni navale na kralja, natjeraju mu vojsku; ona pobjegne u selo Kunaksu, odavde na neki brežuljak a onda glavom bez obzira dalje. Heleni stanu, čude se, što nema Kira, i vrate se uveče u tabor. Noć provedu gladni, jer je kralj dokraja opljačkao tabor Kirov, a svoje hrane nijesu imali. Sjutradan saznadu, da je Kir pao; poruče Arijeju, neka dođe, učinit će ga kraljem. Još dopodne stignu od kralja

sluga (kraljev). — 1. ***πλήν***: osim što. — ***Ὀρόντας***: o Oronti v. br. 6. — ***οὗτος***: Oronta. — ***ὅν***: misli momka, komu je Oronta predao pismo, da ga nosi kralju, a momak je pismo predao Kiru. Kir osudi Orontu na smrt. — ***οἵ***: ἑαυτῷ (Oronti). — 2. ***φιλαίτερος***: odaniji. — 3. ***καὶ οὗτοι μέντοι***: i to zaista. — 4. ***οἱ ἑαυτοὺς ἀγάμενοι***: oni, koji su se ponosili. — ***νομίζοντες***: jer su držali, da će. — ***παρά***: v. str. 9. b. 13. — ***ὄντες ἀγαθοί***: ako budu. — 5. ***ἄν***: sastavi s τυγχάνειν; v. str. 9. b. 8. — ***τυγχάνω τινός***: postizavam, v. str. 18. b. 2. — 6. ***τὸ γενόμενον***: ono, što se dogodilo. — ***ὅτι***: zavisno o τεκμήριον. — 8. ***συντράπεζοι***: v. str. 27. b. 19. — 10. ***ἐτύγχανεν***: v. str. 1. b. 4. — ***τοῦ ἱππικοῦ***: sastavi s ἄρχων, zapovijedajući konjicom, v. str. 4. b. 4. — 11. ***πεπτωκότα***: v. str 3. b. 11. (βουλευομένους). — ***ἔχων καί***: i sa. — ***οὗ***: v. str. 4. b. 4.

poslanici — među njima Helen Falin — i kažu, da kralj ište, da predadu oružje, jer je on pobijedio. Klearh je baš bio zabavljen žrtvom, zato zamoli druge vojvode, neka oni odgovore.

Ἔνθα δὴ ἀπεκρίνατο Κλεάνωρ ὁ Ἀρκὰς πρεσβύτατος ὤν, ὅτι πρόσθεν ἂν ἀποθάνοιεν ἢ τὰ ὅπλα παραδοίησαν· Πρόξενος δὲ ὁ Θηβαῖος· „Ἀλλ' ἐγώ," ἔφη, „ὦ Φαλῖνε, θαυμάζω, πότερα ὡς κρατῶν βασιλεὺς αἰτεῖ τὰ ὅπλα ἢ ὡς διὰ φιλίαν δῶρα. εἰ μὲν γὰρ ὡς κρατῶν, τί δεῖ αὐτὸν αἰτεῖν καὶ οὐ λαβεῖν ἐλθόντα; εἰ δὲ πείσας βούλεται λαβεῖν, λεγέτω, τί ἔσται τοῖς στρατιώταις, ἐὰν αὐτῷ ταῦτα χαρίσωνται". πρὸς ταῦτα Φαλῖνος εἶπε· „Βασιλεὺς νικᾶν ἡγεῖται, ἐπεὶ Κῦρον ἀπέκτεινε. τίς γὰρ αὐτῷ ἔτι τῆς ἀρχῆς ἀντιποιεῖται; νομίζει δὲ καὶ ὑμᾶς ἑαυτοῦ εἶναι, ἔχων ἐν μέσῃ τῇ ἑαυτοῦ χώρᾳ καὶ ποταμῶν ἐντὸς ἀδιαβάτων καὶ πλῆθος ἀνθρώπων ἐφ' ὑμᾶς δυνάμενος ἀγαγεῖν, ὅσον οὐδ', εἰ παρέχοι ὑμῖν, δύναισθε ἂν ἀποκτεῖναι." μετὰ τοῦτον Θεόπομπος Ἀθηναῖος εἶπεν· „Ὦ Φαλῖνε, νῦν, ὡς σὺ ὁρᾷς, ἡμῖν οὐδὲν ἔστιν ἀγαθὸν ἄλλο εἰ μὴ ὅπλα καὶ ἀρετή. ὅπλα μὲν οὖν ἔχοντες οἰόμεθα ἂν καὶ τῇ ἀρετῇ χρῆσθαι, παραδόντες δ' ἂν ταῦτα καὶ τῶν σωμάτων στερηθῆναι. μὴ οὖν οἴου τὰ μόνα ἀγαθὰ ἡμῖν ὄντα ὑμῖν παραδώσειν, ἀλλὰ σὺν τούτοις καὶ περὶ τῶν ὑμετέρων ἀγαθῶν μαχούμεθα." ἀκούσας δὲ ταῦτα ὁ Φαλῖνος ἐγέλασε καὶ εἶπεν· „Ἀλλὰ φιλοσόφῳ μὲν ἔοικας, ὦ νεανίσκε, καὶ λέγεις οὐκ ἀχάριτα· ἴσθι μέντοι ἀνόητος ὤν, εἰ οἴει τὴν ὑμετέραν ἀρετὴν περιγενέσθαι ἂν τῆς βασιλέως δυνάμεως." ἄλλους δέ τινας ἔφασαν λέγειν ὑπομαλακιζομένους, ὡς καὶ Κύρῳ πιστοὶ ἐγένοντο καὶ βασιλεῖ ἂν

3. ***πότερα — ἤ***: da li — ili. — ***ὡς κρατῶν***: kao da je pobijedio. — 4. ***ὡς διά***: kao dar radi, u. — 5. ***καὶ οὐ λαβεῖν***: a ne uzme. — ***πείσας***: nagodivši se. — 6. ***τί ἔσται τοῖς***: što će biti sa. — ***ἐάν***: v. str. 2. b. 8. — ***χαρίζομαι***: činim po volji. — ***πρὸς ταῦτα***: nato. — 7. ***νικάω***: pobijedio sam, pobjednik sam. — ***ἡγέομαι***: mislim. — ***ἐπεί***: kad, jer. — 8. ***ἀντιποιέομαί τινί τινος***: otimam se s kim o što. — ***ἑαυτοῦ εἶναι***: gen. pos., da ste njegovi. — 9. ***ἔχων***: jer vas ima. — ***μέσῃ***: v. str. 7. b. 4. — ***ἐντός***: unutar, među. — ***ἀδιάβατος***: neprelazan. — 10. ***εἰ παρέχοι***: dopuni ἀποκτεῖναι αὐτό, ako bi predao (da pokoljete); v. str. 12. b. 13. (&). — 11. ***μετά***: v. str. 8. b. 14. — 12. ***εἰ μή***: osim. — 13. ***ἀρετή***: junaštvo. — ***ἔχοντες***: dok imamo. — ***ἂν χρῆσθαι***: da će u nas biti; v. str. 9. b. 8. — 14. ***παραδόντες***: kad bi predali. — ***σῶμα***: glava. — ***ἂν στερηθῆναι***: v. str. 30. b. 16. — 15. ***καί***: također. — 16. ***περί***: o vaše t. j. da i vaše otmemo. — 18. ***οὐκ ἀχάριτα***: ne neugodno, a ma baš zgodno; Falin se podruguje. — ***ὤν***: da si; partic. predik. — 19. ***περιγίγνομαί τινος***: nadbijam, v. str. 9. b. 8. — 20. ***ὑπομαλακίζομαι***: mekši postajem; partic. sa λέγω: blaže, malodušnije govorim. — ***ὡς***: da. —

*

πολλοῦ ἄξιοι γένοιντο, εἰ βούλοιτο φίλος γενέσθαι· καὶ εἴτε ἄλλο τι θέλοι χρῆσθαι, εἴτ' ἐπ' Αἴγυπτον στρατεύειν, συγκαταστρέψαιντ' ἂν αὐτῷ. Ἐν τούτῳ Κλέαρχος ἧκε καὶ ἠρώτησεν, εἰ ἤδη ἀποκεκριμένοι εἶεν. Φαλῖνος δὲ ὑπολαβὼν εἶπεν· „Οὗτοι μέν, ὦ Κλέαρχε, ἄλλος ἄλλα λέγει· σὺ δ' ἡμῖν εἰπέ, τί λέγεις.“ ὁ δ' εἶπεν· „Ἐγώ σε, ὦ Φαλῖνε, ἄσμενος ἑώρακα, οἶμαι δὲ καὶ οἱ ἄλλοι πάντες· σύ τε γὰρ Ἕλλην εἶ καὶ ἡμεῖς τοσοῦτοι ὄντες, ὅσους σὺ ὁρᾷς· ἐν τοιούτοις δὲ ὄντες πράγμασι συμβουλευόμεθά σοι, τί χρὴ ποιεῖν, περὶ ὧν λέγεις. σὺ οὖν πρὸς θεῶν συμβούλευσον ἡμῖν, ὅ τι σοι δοκεῖ κάλλιστον καὶ ἄριστον εἶναι, καὶ ὅ σοι τιμὴν οἴσει εἰς τὸν ἔπειτα χρόνον ἀναλεγόμενον, ὅτι Φαλῖνός ποτε πεμφθεὶς παρὰ βασιλέως κελεύσων τοὺς Ἕλληνας τὰ ὅπλα παραδοῦναι ξυμβουλευομένοις ξυνεβούλευσεν αὐτοῖς τάδε. οἶσθα δέ, ὅτι ἀνάγκη λέγεσθαι ἐν τῇ Ἑλλάδι, ἃ ἂν συμβουλεύσῃς.“ ὁ δὲ Κλέαρχος ταῦτα ὑπήγετο, βουλόμενος καὶ αὐτὸν τὸν παρὰ βασιλέως πρεσβεύοντα ξυμβουλεῦσαι μὴ παραδοῦναι τὰ ὅπλα, ὅπως εὐέλπιδες μᾶλλον εἶεν οἱ Ἕλληνες. Φαλῖνος δὲ ὑποστρέψας παρὰ τὴν δόξαν αὐτοῦ εἶπεν· „Ἐγώ, εἰ μὲν τῶν μυρίων ἐλπίδων μία τις ὑμῖν ἐστι σωθῆναι πολεμοῦντας βασιλεῖ, συμβουλεύω μὴ παραδιδόναι τὰ ὅπλα· εἰ δέ τοι μηδεμία σωτηρίας ἐστὶν ἐλπὶς ἄκοντος βασιλέως, συμβουλεύω σῴζεσθαι ὑμῖν, ὅπῃ δυνατόν.“ Κλέαρχος δὲ πρὸς ταῦτα εἶπεν· „Ἀλλὰ ταῦτα μὲν δὴ σὺ

1. ***εἴτε — εἴτε***: sive — sive, htio on — ili. — ***ἄλλο τι χρῆσθαι*** (αὐτοῖς): za drugo što upotrijebiti t. j. protiv druge koje zemlje. — 2. ***Αἴγυπτον***: Egipat se pod Darejem II. Notom oslobodi jarma perzijskoga. — ***συγκαταστρέφομαί τινι***: zajedno s kim pokoravam, pomažem komu, da pokori.

3. ***ἐν τούτῳ***: uto. — ***Κλέαρχος***: v. str. 4. b. 10. — ***εἰ***: da li, v. str. 11. b. 7. (εἴη). — 4. ***ὑπολαβών***: prihvativši. — 6. ***ἄσμενος***: rado, s veseljem; v. str. 5. b. 2. (ἑκών). — 7. ***πράγματα***: prilike. — 8. ***περὶ ὧν***: περὶ τούτων, ἅ; v. str. 4. b. 8. (ὧν). — 10. ***εἰς τὸν ἔπειτα***: u potonje vrijeme. — ***ἀναλεγόμενον***: sastavi s ὅ, kad se bude pripovijedalo. — 11. ***κελεύσων***: da naloži; v. str. 2. b. 5. (ὡς) — 12. ***ἀνάγκη***: obično bez ἐστίν, treba; prevedi: da će se zacijelo pripovijedati, što ćeš. — 13. ***ἃ ἄν***: v. str. 9. b. 4. (ἄν). — ***ταῦτα***: tim; v. str. 8. b. 11. (τά). — 14. ***ὑπήγετο***: impf. de conatu, gledao je da zavede. — ***πρεσβεύω***: poslanik sam; da sâm poslanik kraljev. — 15. ***εὔελπις***: pun dobre nade. — 16. ***ὑποστρέψας***: lukavo se ugnuvši, gradeći se nevješt. — ***παρὰ τὴν δόξαν αὐτοῦ***: sastavi s εἶπεν, preko očekivanja njegova. — 17. ***μυρίος***: nebrojen. — ***μία τις — σωθῆναι***: ima jedna samo, da ćete se izbaviti. — ***πολεμοῦντας***: v. str. 9. b. 1. (προδόντα). — ***βασιλεῖ***: v. str. 4. b. 5. (Τισσαφέρνει). — 19. ***ἄκων***: preko volje; v. str. 5. b. 2. — ***σῴζεσθαι***: da se spasete. — ***ὑμῖν***: sastavi sa συμβουλεύω. — ***ὅπῃ***: kako. — 20. ***δυνατόν***: ἐστίν. — ***ἀλλὰ μὲν δή***: pa dakle.

λέγεις· παρ' ἡμῶν δὲ ἀπάγγελλε τάδε, ὅτι ἡμεῖς οἰόμεθα, εἰ μὲν δέοι βασιλεῖ φίλους εἶναι, πλείονος ἂν ἄξιοι εἶναι φίλοι ἔχοντες τὰ ὅπλα ἢ παραδόντες ἄλλῳ, εἰ δὲ δέοι πολεμεῖν, ἄμεινον ἂν πολεμεῖν ἔχοντες τὰ ὅπλα ἢ ἄλλῳ παραδόντες.“ ὁ δὲ Φαλῖνος εἶπε· „Ταῦτα μὲν δὴ ἀπαγγελοῦμεν· ἀλλὰ καὶ τάδε ὑμῖν εἰπεῖν ἐκέλευσε βασιλεύς, ὅτι μένουσι μὲν ὑμῖν αὐτοῦ σπονδαὶ εἴησαν, προϊοῦσι δὲ καὶ ἀπιοῦσι πόλεμος. εἴπατε οὖν καὶ περὶ τούτου, πότερα μενεῖτε καὶ σπονδαί εἰσιν ἢ ὡς πολέμου ὄντος παρ' ὑμῶν ἀπαγγελῶ.“ Κλέαρχος δ' ἔλεξεν· „Ἀπάγγελλε τοίνυν καὶ περὶ τούτου, ὅτι καὶ ἡμῖν ταὐτὰ δοκεῖ, ἅπερ καὶ βασιλεῖ.“ „Τί οὖν ταῦτά ἐστιν;“ ἔφη ὁ Φαλῖνος. ἀπεκρίθη ὁ Κλέαρχος· „Ἢν μὲν μένωμεν, σπονδαί, ἀπιοῦσι δὲ καὶ προϊοῦσι πόλεμος.“ ὁ δὲ πάλιν ἠρώτησε· „Σπονδὰς ἢ πόλεμον ἀπαγγελῶ;“ Κλέαρχος δὲ ταὐτὰ πάλιν ἀπεκρίνατο· „Σπονδαὶ μὲν μένουσιν, ἀπιοῦσι δὲ καὶ προϊοῦσι πόλεμος.“ ὅ τι δὲ ποιήσοι, οὐ διεσήμηνε.

10. Heleni se sjedinjuju s Arijejem.

(II. 2., 7.—12.)

Poslanstvo kraljevo otide ne opravivši ništa. Arijej poruči Helenima, da ne prima ponuđene kraljevske časti; ako žele, neka se s njim vrate u Malu Aziju, jer on polazi sjutra rano. Heleni to prihvate i pod noć krenu.

Καὶ ἀφικνοῦνται εἰς τὸν πρῶτον σταθμὸν παρ' Ἀριαῖον καὶ τὴν ἐκείνου στρατιὰν ἀμφὶ μέσας νύκτας· καὶ ἐν τάξει θέμενοι τὰ ὅπλα συνῆλθον οἱ στρατηγοὶ καὶ λοχαγοὶ τῶν Ἑλλήνων παρ' Ἀριαῖον· καὶ ὤμοσαν οἵ τε Ἕλληνες καὶ ὁ Ἀριαῖος καὶ τῶν σὺν αὐτῷ οἱ κράτιστοι μήτε προδώσειν ἀλλήλους σύμμαχοί τε ἔσεσθαι· οἱ δὲ βάρβαροι προσ-

2. ***ἂν εἶναι***: v. str. 9. b. 8. — ***ἔχοντες***: kad bi imali. — 5. ***μένουσι — ὑμῖν***: ako ostanete. — 6. ***αὐτοῦ***: tu. — ***σπονδαί***: primirje. — ***εἴησαν***: v. str. 2. b. 4. (ὡς). — ***ἀπιοῦσι***: ako se budete vraćali; kralj se boji, ako se vrate u Malu Aziju, da će mu tamo škoditi. — 7. ***ἢ ὡς***: ili ću javiti, da će od vas biti rata. — 8. ***τοίνυν***: dakle. — 10. ***ἀπεκρίθη***: ἀπεκρίνατο. — ***ἤν***: ἐάν. — 13. ***ὅ τι***: v. str. 11. b. 7. (εἴη). — 14. ***διασημαίνω***: izjavljujem.

15. ***σταθμός***: v. str. 6. b. 1. — ***ἀμφὶ μέσας***: o ponoći od 5. na 6. rujna g. 401. — 16. ***θέμενοι***: v. str. 18. b. 12. — 17. ***λοχαγός***: v. str. 3. b. 7. — 18. ***οἱ σὺν αὐτῷ***: njegova pratnja. — 19. ***προδώσειν***: da jedni drugih ne će izdati; uz verba dicendi i sentiendi dolazi nom. s inf., ako je u obje rečenice isti subj. — ***προσόμνυμι***: kunem se osim toga.

ὤμοσαν καὶ ἡγήσεσθαι ἀδόλως. ταῦτα δ' ὤμοσαν, σφάξαντες ταῦρον καὶ κάπρον καὶ κριὸν εἰς ἀσπίδα, οἱ μὲν Ἕλληνες βάπτοντες ξίφος, οἱ δὲ βάρβαροι λόγχην. ἐπεὶ δὲ τὰ πιστὰ ἐγένετο, εἶπεν ὁ Κλέαρχος· „Ἄγε δή, ὦ Ἀριαῖε, ἐπείπερ ὁ αὐτὸς ὑμῖν στόλος ἐστὶ καὶ ἡμῖν, εἰπέ, τίνα γνώμην ἔχεις περὶ τῆς πορείας, πότερον ἄπιμεν, ἥνπερ ἤλθομεν, ἢ ἄλλην τινὰ ἐννενοηκέναι δοκεῖς ὁδὸν κρείττω." ὁ δ' εἶπεν· „Ἣν μὲν ἤλθομεν, ἀπιόντες παντελῶς ἂν ὑπὸ λιμοῦ ἀπολοίμεθα· ὑπάρχει γὰρ νῦν ἡμῖν οὐδὲν τῶν ἐπιτηδείων. ἑπτακαίδεκα γὰρ σταθμῶν τῶν ἐγγυτάτω οὐδὲ δεῦρο ἰόντες ἐκ τῆς χώρας οὐδὲν εἴχομεν λαμβάνειν· ἔνθα δέ τι ἦν, ἡμεῖς διαπορευόμενοι κατεδαπανήσαμεν. νῦν δ' ἐπινοοῦμεν πορεύεσθαι μακροτέραν μέν, τῶν δ' ἐπιτηδείων οὐκ ἀπορήσομεν. πορευτέον δ' ἡμῖν τοὺς πρώτους σταθμούς, ὡς ἂν δυνώμεθα μακροτάτους, ἵνα ὡς πλεῖστον ἀποσπάσωμεν τοῦ βασιλικοῦ στρατεύματος· ἢν γὰρ ἅπαξ δύο ἢ τριῶν ἡμερῶν ὁδὸν ἀπόσχωμεν, οὐκέτι μὴ δύνηται βασιλεὺς ἡμᾶς καταλαβεῖν. ὀλίγῳ μὲν γὰρ στρατεύματι οὐ τολμήσει ἐφέπεσθαι· πολὺν δ' ἔχων στόλον οὐ δυνήσεται ταχέως πορεύεσθαι· ἴσως δὲ καὶ τῶν ἐπιτηδείων σπανιεῖ. ταύτην," ἔφη, „τὴν γνώμην ἔχω ἔγωγε."

1. **ἡγέομαι**: vodič sam. — **ἀδόλως**: bez prijevare. — 2. **κάπρος**: nerast — **κριός**: ovan; to je isto, što su u Rimljana 'suovetaurilia'. — **εἰς ἀσπίδα**: u štit, jer je sveden. — **βάπτω**: umačem t. j. kao što umaču mač u krv žrtve, tako se omastilo oružje krvlju onoga, tko pogazi vjeru! — **ξίφος**: mač. — 3. **λόγχη**: koplje. — **πιστά**: vjera. — **Κλέαρχος**: v. str. 4. b. 10. — **ἄγε**: daj, de. — 4. **στόλος**: put. — **καὶ ἡμῖν**: kao nama. — 5. **πότερον — ἤ**: da li — ili. — **ἄπιμεν**: hoćemo li se vratiti onim putem, kojim. — **ἥνπερ**: ὁδόν. — 6. **ἐννενοηκέναι δοκεῖς**: misliš, da si se domislio drugomu. — 7. **παντελῶς**: sasvim. — **λιμός**: glad. — **ὑπάρχω**: jesam; ὑπάρχει ἡμῖν: imamo. — 8. **τὰ ἐπιτήδεια**: v. str. 10. b. 15. — **σταθμῶν**: gen. temporis, za posljednjih 17 dana hoda. — **οὐδὲ δεῦρο**: ni dok smo ovamo išli. — 9. **ἐκ τῆς χώρας**: sastavi s λαμβάνειν. — **οὐδέν** v. str. 9. b. 4. — **ἔνθα**: gdje. — 10. **καταδαπανάω**: potrošim. — **ἐπινοέω**: kanim. — 11. **μακροτέραν**: ὁδόν. — **ἀπορέω τινός**: gen. inopiae, nemam čega. — 12. **τοὺς πρώτους**: prve dane prevaliti nam je put, što dulji možemo. — 13. **ἀποσπάω τινός**: odmičem od; v. str. 19. b. 12. — **ἤν**: ἐάν; v. str. 2. b. 8. — **ἅπαξ**: jednom, sastavi s ἀπόσχωμεν (budemo daleko). — **δύο ἢ τριῶν**: gen. qualitatis, dva ili tri dana hoda. — 14. **οὐκέτι μή**: ne će lje više moći. — **καταλαμβάνω**: zatečem, stižem. — 15. **τολμάω**: usuđujem se. — **ἔχων**: v. str. 1. b. 6. (λαβών) — 16. **στόλος**: vojska. — 17. **σπανίζω τινός**: gen. inopiae; oskudijevam, nemam.

11. Kraljev strah od Helena.

(II. 2., 13.—18.)

Ἦν δὲ αὕτη ἡ στρατηγία οὐδὲν ἄλλο δυναμένη ἢ ἀποδρᾶναι ἢ ἀποφυγεῖν· ἡ δὲ τύχη ἐστρατήγησε κάλλιον. ἐπεὶ γὰρ ἡμέρα ἐγένετο, ἐπορεύοντο ἐν δεξιᾷ ἔχοντες τὸν ἥλιον, λογιζόμενοι ἥξειν ἅμα ἡλίῳ δύνοντι εἰς κώμας τῆς Βαβυλωνίας χώρας· καὶ τοῦτο μὲν οὐκ ἐψεύσθησαν. ἔτι δὲ ἀμφὶ δείλην ἔδοξαν πολεμίους ὁρᾶν ἱππέας· καὶ τῶν τε Ἑλλήνων, οἳ μὴ ἔτυχον ἐν ταῖς τάξεσιν ὄντες, εἰς τὰς τάξεις ἔθεον, καὶ Ἀριαῖος, ἐτύγχανε γὰρ ἐφ' ἁμάξης πορευόμενος, διότι ἐτέτρωτο, καταβὰς ἐθωρακίζετο καὶ οἱ σὺν αὐτῷ. ἐν ᾧ δὲ ὡπλίζοντο, ἧκον λέγοντες οἱ προπεμφθέντες σκοποί, ὅτι οὐχ ἱππεῖς εἶεν, ἀλλ' ὑποζύγια νέμοιτο. καὶ εὐθὺς ἔγνωσαν πάντες, ὅτι ἐγγύς που ἐστρατοπεδεύετο βασιλεύς· καὶ γὰρ καπνὸς ἐφαίνετο ἐν κώμαις οὐ πρόσω.

Κλέαρχος δὲ ἐπὶ μὲν τοὺς πολεμίους οὐκ ἦγεν· ᾔδει γὰρ καὶ ἀπειρηκότας τοὺς στρατιώτας καὶ ἀσίτους ὄντας· ἤδη δὲ καὶ ὀψὲ ἦν. οὐ μέντοι οὐδὲ ἀπέκλινε, φυλαττόμενος, μὴ δοκοίη φεύγειν, ἀλλ' εὐθύωρον ἄγων ἅμα τῷ ἡλίῳ δυομένῳ εἰς τὰς ἐγγυτάτω κώμας τοὺς πρώτους ἔχων κατεσκήνωσεν, ἐξ ὧν διήρπαστο ὑπὸ τοῦ βασιλικοῦ στρατεύματος καὶ αὐτὰ τὰ ἀπὸ τῶν οἰκιῶν ξύλα. οἱ μὲν οὖν πρῶτοι ὅμως τρόπῳ τινὶ ἐστρατοπεδεύσαντο, οἱ δὲ ὕστεροι σκοταῖοι προσιόντες, ὡς

1. **στρατηγία**: vojna osnova. — **δυναμένη ἦν**: smjerala je. — 2. **στρατηγέω**: vodim. — **κάλλιον**: vojska se dično vratila, nije ni uskočila ni pobjegla. — **ἡμέρα**: 6. rujna. — 3. **ἐν δεξιᾷ**: χειρί, putovali su na sjever. — **λογίζομαι**: mislim. — **ἅμα δύνοντι**: sa zalazom. — 4. **κώμη**: selo. — **τοῦτο**: u tom; v. str. 8. b. 11. (τά). — **ψεύδομαι**: varam se. — 5. **δείλη**: v. str. 22. b. 9. — **τῶν Ἑλλήνων**: gen. part. zavisan o οἵ. — 6. **μή**: jer οἵ stoji mj. εἴ τινες. — **ἔτυχον**: v. str. 1. b. 4. — **θέω**: trčim. — 7. **διότι**: zato, što; jer. — **θωρακίζομαι**: mećem na se oklop. — 8. **ἐν ᾧ**: dok. — 9. **σκοπός**: uhoda. — **εἶεν**: v. str. 2. b. 4. (ὡς). — **ὑποζύγια**: tovarna živina. — **νέμομαι**: pasem; v. str. 10. b. 5. (οὕτως). — 10. **στρατοπεδεύομαι**: taborujem. — **καπνός**: dim. — 11. **πρόσω**: daleko.

13. **ἀπειρηκότας** (ἀπαγορεύω, sustajem): da su umorni; v. str. 3. b. 11. — **ἄσιτος**: gladan. — **ὀψέ**: kasno. — 14. **ἀπέκλινε**: skretao je (s puta). — **φυλάττομαι**: čuvam se; v. str. 10. b. 10. (καί). — **εὐθύωρον**: ravno. — 15. **τὰς ἐγγυτάτω κώμας**: u najbliža sela. — **τοὺς πρώτους ἔχων**: s prednjim četama. — 16. **κατασκηνόω εἰς**: nastanim se u. — **διαρπάζω**: razgrabim. — 17. **καὶ αὐτὰ τὰ ἀπό**: i ista drva sa. — **ὅμως**: ipak (premda je kraljeva vojska sve raznijela). — 18. **στρατοπεδεύομαι**: utaborim se. — **σκοταῖος**: taman; što su poslije u mraku dolazili; v. str. 5. b. 2. (ἑκών). — **ὡς ἐτύγχανον**: kako se tko namjerio.

ἐτύγχανον ἕκαστοι, ηὐλίζοντο, καὶ κραυγὴν πολλὴν ἐποίουν καλοῦντες ἀλλήλους, ὥστε καὶ τοὺς πολεμίους ἀκούειν· ὥστε οἱ μὲν ἐγγύτατα τῶν πολεμίων καὶ ἔφυγον ἐκ τῶν σκηνωμάτων. δῆλον δὲ τοῦτο τῇ ὑστεραίᾳ ἐγένετο· οὔτε γὰρ ὑποζύγιον ἔτ᾽ οὐδὲν ἐφάνη οὔτε στρατόπεδον οὔτε καπνὸς οὐδαμοῦ πλησίον. ἐξεπλάγη δέ, ὡς ἔοικε, καὶ βασιλεὺς τῇ ἐφόδῳ τοῦ στρατεύματος. ἐδήλωσε δὲ τοῦτο οἷς τῇ ὑστεραίᾳ ἔπραττε.

12. Smrt nekolicine vojvoda helenskih.

(II. 5., 27.–42.; 6. 1.)

Kralj, koji je prije tražio od Helena, da mu predadu oružje, moli primirje. Heleni ga učine pod pogodbom, da im kralj namakne hrane. Kralj ih dâ odvesti u bogata sela. Tu sklopi Tisaferno s Helenima ugovor: on će ih voditi kući, a oni će bez nasilja putovati; putem će oni sebi kupovati hranu, a gdje ne će moći kupiti, smjet će uzimati. Međutim su dolazili od kralja ljudi k Arijeju i nagovarali ga, da se izmiri s kraljem. Heleni posumnjaju na nj. Istom 2. listopada krenu dalje s Tisafernom, koji je imao uza se svoju vojsku, kao da se vraća u oblast svoju. Arijej je išao zajedno s Tisafernom, a Heleni za se, kao da su neprijatelji, a znali su se za drva i hranu potući. 6. listopada prijeđu Tigris i stignu na Zapat, koji se izlijeva u Tigris. Sumnja je rasla, a Klearh, da je ukloni, otide k Tisafernu. Tisaferno reče Klearhu, neka dovede k njemu vojvode, pa će mu nabrojiti one, koji kažu, da Klearh njemu (Tisafernu) i vojsci njegovoj snuje izdaju. Tisaferno ustavi Klearha na ručku.

Τῇ δὲ ὑστεραίᾳ ὁ Κλέαρχος ἀπελθὼν ἐπὶ τὸ στρατόπεδον δῆλός τ᾽ ἦν πάνυ φιλικῶς οἰόμενος διακεῖσθαι τῷ Τισσαφέρνει καί, ἃ ἔλεγεν ἐκεῖνος, ἀπήγγελλεν, ἔφη τε χρῆναι ἰέναι παρὰ Τισσαφέρνην, οὓς ἐκέλευε, καὶ ἐὰν ἐλεγχθῶσι διαβάλλοντες, ὡς προδότας αὐτοὺς καὶ κακόνους τοῖς Ἕλλησιν ὄντας τιμωρηθῆναι. ὑπώπτευε δὲ εἶναι τὸν δια-

1. ***αὐλίζομαι***: noćim. — 2. ***ὥστε ἀκούειν***: da bi čuli; v. str. 17. b. 8. (ὡς). — ***ὥστε οἱ***: v. str. 4. b. 4. — ***οἱ ἐγγύτατα τῶν***: najbliži od. — 3. ***καί***: pače. — ***σκήνωμα***: šator. — ***τῇ ὑστεραίᾳ***: ἡμέρᾳ, sjutradan. — 5. ***οὐδαμοῦ***: nigdje; v. str. 9. b. 4. — ***ἔοικε***: čini se. — ***ἔφοδος***: dolazak. — 6. ***οἷς***: τούτοις, ἅ; v. str. 4. b. 8. (ὧν).

7. ***τῇ ὑστεραίᾳ***: 24. listopada g. 401.; v. str. 40. b. 3. — ***Κλέαρχος***: v. str. 4. b. 10. — ***δῆλος ἦν οἰόμενος***: v. str. 16. b. 12. — 8. ***πάνυ φιλικῶς διάκειμαί τινι***: sasvim sam u prijateljstvu sa. — 9. ***οὓς ἐκέλευε***: dopuni ἰέναι, subj. Tisaferno. — 10. ***ἐάν***: v. str. 2. b. 8. — ***ἐλέγχω***: dokazujem; ako im se dokaže, da kleveću; partic. pred. — 11. ***τιμωρηθῆναι***: zavisno o χρῆναι, τιμωρέω: kaznim. — ***ὑποπτεύω***: sumnjam.

βάλλοντα Μένωνα, εἰδὼς αὐτὸν καὶ συγγεγενημένον Τισσαφέρνει μετ᾽ Ἀριαίου καὶ στασιάζοντα αὐτῷ καὶ ἐπιβουλεύοντα, ὅπως τὸ στράτευμα ἅπαν πρὸς αὐτὸν λαβὼν φίλος ᾖ Τισσαφέρνει. ἐβούλετο δὲ καὶ ὁ Κλέαρχος ἅπαν τὸ στράτευμα πρὸς ἑαυτὸν ἔχειν τὴν γνώμην καὶ τοὺς παραλυποῦντας ἐκποδὼν εἶναι. τῶν δὲ στρατιωτῶν ἀντέλεγόν τινες αὐτῷ μὴ ἰέναι πάντας τοὺς λοχαγοὺς καὶ στρατηγοὺς μηδὲ πιστεύειν Τισσαφέρνει. ὁ δὲ Κλέαρχος ἰσχυρῶς κατέτεινεν, ἔστε διεπράξατο πέντε μὲν στρατηγοὺς ἰέναι, εἴκοσι δὲ λοχαγούς. συνηκολούθησαν δὲ ὡς εἰς ἀγορὰν καὶ τῶν ἄλλων στρατιωτῶν ὡς διακόσιοι.

Ἐπεὶ δὲ ἦσαν ἐπὶ ταῖς θύραις ταῖς Τισσαφέρνους, οἱ μὲν στρατηγοὶ παρεκλήθησαν εἴσω, Πρόξενος Βοιώτιος, Μένων Θετταλός, Ἀγίας Ἀρκάς, Κλέαρχος Λάκων, Σωκράτης Ἀχαιός· οἱ δὲ λοχαγοὶ ἐπὶ ταῖς θύραις ἔμενον. οὐ πολλῷ δὲ ὕστερον ἀπὸ τοῦ αὐτοῦ σημείου οἵ τ᾽ ἔνδον ξυνελαμβάνοντο καὶ οἱ ἔξω κατεκόπησαν. μετὰ δὲ ταῦτα τῶν βαρβάρων τινὲς ἱππέων διὰ τοῦ πεδίου ἐλαύνοντες, ᾧτινι ἐντυγχάνοιεν Ἕλληνι ἢ δούλῳ ἢ ἐλευθέρῳ, πάντας ἔκτεινον. οἱ δὲ Ἕλληνες τήν τε ἱππασίαν ἐθαύμαζον ἐκ τοῦ στρατοπέδου ὁρῶντες καί, ὅ τι ἐποίουν, ἠμφεγνόουν, πρὶν Νίκαρχος Ἀρκὰς ἧκε φεύγων, τετρωμένος εἰς τὴν γαστέρα καὶ τὰ ἔντερα ἐν ταῖς χερσὶν ἔχων καὶ εἶπε πάντα τὰ γεγενημένα.

Ἐκ τούτου δὴ οἱ Ἕλληνες ἔθεον ἐπὶ τὰ ὅπλα πάντες ἐκπεπληγμένοι καὶ νομίζοντες αὐτίκα ἥξειν αὐτοὺς ἐπὶ τὸ στρατόπεδον. οἱ δὲ πάντες μὲν οὐκ ἦλθον, Ἀριαῖος δὲ καὶ Ἀρτάοζος καὶ Μιθραδάτης, οἳ ἦσαν Κύρῳ πιστότατοι· ὁ δὲ τῶν Ἑλλήνων ἑρμηνεὺς ἔφη καὶ τὸν Τισ-

1. ***Μένων***: v. str. 6. b. 7. — ***εἰδώς***: jer je znao. — ***συγγεγενημένον***: da je bio kod; v. str. 3. b. 11.; ***συγγίγνομαί τινι***: sastajem se. — 2. ***στασιάζω τινί***: protivnik sam; Menon je zavidio Klearhu, što ga voli i štuje Kir. — ***ἐπιβουλεύω***: snujem. — 3. ***λαβὼν πρός***: privukavši k sebi. — 4. ***ἅπαν — γνώμην***: da sva vojska njemu prikloni srce svoje. — ***οἱ παραλυποῦντες***: protivnici; ***παραλυπέω***: zadajem jade. — 5. ***ἐκποδὼν εἶναι***: da se s puta maknu. — ***ἀντιλέγω***: protivim se. — 6. ***λοχαγός***: v. str. 3. b. 7. — 7. ***κατατείνω***: upinjem se. — ***ἔστε***: dok. — ***διαπράττω***: isposlujem. — 8. ***συνακολουθέω***: idem zajedno. — ***ὡς εἰς ἀγοράν***: kao (da idu) na trg t. j. bez oružja. — 9. ***ὡς***: do, neko.

13. ***ἀπὸ τοῦ αὐτοῦ σημείου***: na isti znak. — ***οἱ ἔνδον***: oni unutra. — 14. ***μετὰ ταῦτα***: zatim. — 15. ***διά***: v. str. 11. b. 13. — ***ἐντυγχάνω τινί***: namjerim se na, v. str. 2. b. 10. (ἀφικνοῖτο). — 16. ***ἱππασία***: jahanje, konjaništvo. — 17. ***ἐποίουν***: ἱππεῖς. — ***ἀμφιγνοέω***: dvoumim, ne znam. — 18. ***τὰ ἔντερα ἔχων***: držeći crijeva.

20. ***ἐκ τούτου***: nato. — 21. ***αὐτούς***: τοὺς Πέρσας. — 22. ***δέ***: već. — 23. ***ἑρμηνεύς***: tumač. — ***ἔφη — ὁρᾶν***: da vidi, da je s njima (s Arijejem i drugima) i Tisafernov brat, i on ga pozna.

σαφέρνους ἀδελφὸν σὺν αὐτοῖς ὁρᾶν καὶ γιγνώσκειν· ξυνηκολούθουν δὲ καὶ ἄλλοι Περσῶν τεθωρακισμένοι εἰς τριακοσίους. οὗτοι ἐπεὶ ἐγγὺς ἦσαν, προσελθεῖν ἐκέλευον, εἴ τις εἴη τῶν Ἑλλήνων στρατηγὸς ἢ λοχαγός, ἵνα ἀπαγγείλωσι τὰ παρὰ βασιλέως.

Μετὰ ταῦτα ἐξῆλθον φυλαττόμενοι τῶν Ἑλλήνων στρατηγοὶ μὲν Κλεάνωρ Ἐρχομένιος καὶ Σοφαίνετος Στυμφάλιος, ξὺν αὐτοῖς δὲ Ξενοφῶν Ἀθηναῖος, ὅπως μάθοι τὰ περὶ Προξένου· Χειρίσοφος δὲ ἐτύγχανεν ἀπὼν ἐν κώμῃ τινὶ ξὺν ἄλλοις ἐπισιτιζομένοις.

Ἐπειδὴ δὲ ἔστησαν εἰς ἐπήκοον, εἶπεν Ἀριαῖος τάδε· „Κλέαρχος μέν, ὦ ἄνδρες Ἕλληνες, ἐπεὶ ἐπιορκῶν τε ἐφάνη καὶ τὰς σπονδὰς λύων, ἔχει τὴν δίκην καὶ τέθνηκε, Πρόξενος δὲ καὶ Μένων, ὅτι κατήγγειλαν αὐτοῦ τὴν ἐπιβουλήν, ἐν μεγάλῃ τιμῇ εἰσιν. ὑμᾶς δὲ βασιλεὺς τὰ ὅπλα ἀπαιτεῖ· ἑαυτοῦ γὰρ εἶναί φησιν, ἐπείπερ Κύρου ἦσαν, τοῦ ἐκείνου δούλου." πρὸς ταῦτα ἀπεκρίναντο οἱ Ἕλληνες, ἔλεγε δὲ Κλεάνωρ ὁ Ἐρχομένιος· „Ὦ κάκιστε ἀνθρώπων Ἀριαῖε καὶ οἱ ἄλλοι, ὅσοι ἦτε Κύρου φίλοι, οὐκ αἰσχύνεσθε οὔτε θεοὺς οὔτ' ἀνθρώπους, οἵτινες ὀμόσαντες ἡμῖν τοὺς αὐτοὺς φίλους καὶ ἐχθροὺς νομιεῖν, προδόντες ἡμᾶς σὺν Τισσαφέρνει τῷ ἀθεωτάτῳ τε καὶ πανουργοτάτῳ, τούς τε ἄνδρας αὐτούς, οἷς ὤμνυτε, ἀπολωλέκατε καὶ τοὺς ἄλλους ἡμᾶς προδεδωκότες ξὺν τοῖς πολεμίοις ἐφ' ἡμᾶς ἔρχεσθε;" ὁ δὲ Ἀριαῖος εἶπε· „Κλέαρχος γὰρ πρόσθεν ἐπιβουλεύων φανερὸς ἐγένετο Τισσαφέρνει τε καὶ Ὀρόντᾳ, καὶ πᾶσιν ἡμῖν τοῖς ξὺν τούτοις." ἐπὶ τούτῳ Ξενοφῶν τάδε εἶπε· „Κλέαρχος

2. ***τεθωρακισμένοι***: u oklopu; v. str. 39. b. 7. — ***εἰς***: do, neko. — 3. ***προσελθεῖν***: neka izađe, ako ima. — ***εἴη***: v. str. 30. b. 11. (νικῴη). — 4. ***τὰ παρὰ βασιλέως***: kraljeve poruke.

5. ***φυλαττόμενοι***: oprezno. — 6. ***Ἐρχομένιος***: Erhomenjanin, iz arkadskoga grada Erhomena, koji se poslije zvao Orhomen. — ***ξύν***: σύν. — 7. ***ὅπως μάθοι***: da sazna. — ***τὰ περί***: za sudbinu Proksenovu. — 8. ***ἄπειμι***: odsutan sam; v. str. 1 b. 4. — ***κώμη***: selo. — ***ἐπισιτίζομαι***: dobavljam hranu.

9. ***ἔστησαν εἰς ἐπήκοον***: stadoše, gdje se već čuti moglo. — 10. ***ἐπιορκέω***: krivo se kunem, gazim vjeru; v. str. 32. b. 5. — ***λύω***: kršim. — ***σπονδαί***: primirje. — 11. ***ἔχει τὴν δίκην***: primio je svoju kazan. — ***ὅτι***: jer. — 12. ***αὐτοῦ***: Κλεάρχου. — ***ἐπιβουλή***: zlobna osnova. — 13. ***ἀπαιτέω τινά τι***: ištem od koga što. — ***ἑαυτοῦ εἶναι***: njegovo je (oružje). — ***ἐκείνου***: βασιλέως, njegova sluge. — 16. ***αἰσχύνομαί τινα***: stidim se koga. — ***οἵτινες***: nastavlja se ἀπολώλεκατε; koji ste se zakleli —, a izdali — i upravo one ljude. — ***ἡμῖν — νομιεῖν***: da ćete iste, kao što mi, držati za. — 18. ***ἄθεος***: bezbožan. — ***πανοῦργος***: lukav, zloban. — 21. ***ἐπιβουλεύω τινί***: radim komu o glavi; v. str. 31. b. 12. — 22. ***ξὺν τούτοις***: pored njih, pored Tisaferna i Oronte. — ***ἐπὶ τούτῳ***: nato. —

μὲν τοίνυν, εἰ παρὰ τοὺς ὅρκους ἔλυε τὰς σπονδάς, τὴν δίκην ἔχει. δίκαιον γὰρ ἀπόλλυσθαι τοὺς ἐπιορκοῦντας· Πρόξενος δὲ καὶ Μένων ἐπείπερ εἰσὶν ὑμέτεροι μὲν εὐεργέται, ἡμέτεροι δὲ στρατηγοί, πέμψατε αὐτοὺς δεῦρο· δῆλον γάρ, ὅτι φίλοι γε ὄντες ἀμφοτέροις πειράσονται καὶ ὑμῖν καὶ ἡμῖν τὰ βέλτιστα ξυμβουλεῦσαι." πρὸς ταῦτα οἱ βάρβαροι πολὺν χρόνον διαλεχθέντες ἀλλήλοις ἀπῆλθον οὐδὲν ἀποκρινάμενοι.

Οἱ μὲν δὴ στρατηγοὶ οὕτω ληφθέντες ἀνήχθησαν ὡς βασιλέα καὶ ἀποτμηθέντες τὰς κεφαλὰς ἐτελεύτησαν.

13. Nevolja vojske helenske i san Ksenofontov.

(III. 1., 1.—8., 11. —14.)

Ἐπεὶ δὲ οἱ στρατηγοὶ συνειλημμένοι ἦσαν καὶ τῶν λοχαγῶν καὶ τῶν στρατιωτῶν οἱ συνεπισπόμενοι ἀπωλώλεσαν, ἐν πολλῇ δὴ ἀπορίᾳ ἦσαν οἱ Ἕλληνες, ἐννοούμενοι, ὅτι ἐπὶ ταῖς βασιλέως θύραις ἦσαν, κύκλῳ δὲ αὐτοῖς πάντῃ πολλὰ καὶ ἔθνη καὶ πόλεις πολέμιαι ἦσαν, ἀγορὰν δὲ οὐδεὶς ἔτι παρέξειν ἔμελλεν, ἀπεῖχον δὲ τῆς Ἑλλάδος οὐ μεῖον ἢ μύρια στάδια, ἡγεμὼν δ' οὐδεὶς τῆς ὁδοῦ ἦν, ποταμοὶ δὲ διῆργον ἀδιάβατοι ἐν μέσῳ τῆς οἴκαδε ὁδοῦ, προὐδεδώκεσαν δὲ αὐτοὺς καὶ οἱ σὺν Κύρῳ ἀναβάντες βάρβαροι, μόνοι δὲ καταλελειμμένοι ἦσαν οὐδὲ ἱππέα οὐδένα σύμμαχον ἔχοντες, ὥστε εὔδηλον ἦν, ὅτι νικῶντες μὲν οὐδένα ἂν κατακάνοιεν, ἡττηθέντων δὲ αὐτῶν οὐδεὶς ἂν λειφθείη· ταῦτ' ἐννοούμενοι καὶ ἀθύμως ἔχοντες ὀλίγοι μὲν αὐτῶν εἰς τὴν ἑσπέραν σίτου

1. ***τοίνυν***: dakle. — ***παρὰ τοὺς ὅρκους***: mimo zakletve. — ***δίκαιον***: ἐστίν. — 4. ***δεῦρο***: ovamo. — ***δῆλον ὅτι***: očevidno je, da; zaista. — 6. ***διαλέγομαί τινι***: razgovaram se s kim.

7. ***ὡς***: k. — 8. ***τὰς κεφαλάς***: odrubiše im glave, te.

9. ***οἱ στρατηγοί***: Beoćanin Proksen, Tesalac Menon, Arkađanin Agija, Lakedemonjanin Klearh, Ahejac Sokrat. — ***τῶν λοχαγῶν***: gen. part., bilo ih je 20. — 10. ***ἀπορία***: neprilika. — 11. ***ἐννοέομαι***: uzimam na um. — ***ἐπὶ ταῖς***: t. j. blizu prijestolnice, u srcu kraljevstva perzijskoga. — 12. ***κύκλῳ πάντῃ***: svud naokolo. — 13. ***ἀγορὰν παρέχω***: podajem trg, prodajem hranu; v. str. 33. b. 15. — 14. ***μύρια στάδια***: neko 1.500 km; v. str. 26. b. 6. — ***ἡγεμών***: vodič. — ***διείργω***: rastavljam. — ***ἐν — ὁδοῦ***: na srijedi puta kući. — ***οὐδέ***: v. str. 9. b. 4. — 17. ***σύμμαχον***: za saveznika, u pomoć. — ***εὔδηλος***: očevidan. — ***νικῶντες***: kad bi pobijedili. — 18. ***ἡττάομαι***: svladan sam; kad bi bili svladani. — ***αὐτῶν***: sastavi s οὐδείς, gen. part. — 19. ***ἀθύμως ἔχω***: malodušan sam; v. str. 3. b. 3. (ἐνοίκως). — ***εἰς τὴν ἑσπέραν***: onu večer.

ἐγεύσαντο, ὀλίγοι δὲ πῦρ ἀνέκαυσαν, ἐπὶ δὲ τὰ ὅπλα πολλοὶ οὐκ ἦλθον ταύτην τὴν νύκτα, ἀνεπαύοντο δέ, ὅπου ἐτύγχανον ἕκαστος, οὐ δυνάμενοι καθεύδειν ὑπὸ λύπης καὶ πόθου πατρίδων, γονέων, γυναικῶν, παίδων, οὓς οὔποτ' ἐνόμιζον ἔτι ὄψεσθαι. οὕτω μὲν δὴ διακείμενοι πάντες ἀνεπαύοντο.

Ἦν δέ τις ἐν τῇ στρατιᾷ Ξενοφῶν Ἀθηναῖος, ὃς οὔτε στρατηγὸς οὔτε λοχαγὸς οὔτε στρατιώτης ὢν συνηκολούθει, ἀλλὰ Πρόξενος αὐτὸν μετεπέμψατο οἴκοθεν ξένος ὢν ἀρχαῖος· ὑπισχνεῖτο δὲ αὐτῷ, εἰ ἔλθοι, φίλον αὐτὸν Κύρῳ ποιήσειν, ὃν αὐτὸς ἔφη κρείττω ἑαυτῷ νομίζειν τῆς πατρίδος. ὁ μέντοι Ξενοφῶν ἀναγνοὺς τὴν ἐπιστολὴν ἀνακοινοῦται Σωκράτει τῷ Ἀθηναίῳ περὶ τῆς πορείας. καὶ ὁ Σωκράτης ὑποπτεύσας, μή τι πρὸς τῆς πόλεως ὑπαίτιον εἴη Κύρῳ φίλον γενέσθαι, ὅτι ἐδόκει ὁ Κῦρος προθύμως τοῖς Λακεδαιμονίοις ἐπὶ τὰς Ἀθήνας συμπολεμῆσαι, συμβουλεύει τῷ Ξενοφῶντι ἐλθόντα εἰς Δελφοὺς ἀνακοινῶσαι τῷ θεῷ περὶ τῆς πορείας. ἐλθὼν δ' ὁ Ξενοφῶν ἐπήρετο τὸν Ἀπόλλω, τίνι ἂν θεῶν θύων καὶ εὐχόμενος κάλλιστα καὶ ἄριστα ἔλθοι τὴν ὁδόν, ἣν ἐπινοεῖ, καὶ καλῶς πράξας σωθείη. καὶ ἀνεῖλεν αὐτῷ ὁ Ἀπόλλων θεοῖς, οἷς ἔδει θύειν. ἐπεὶ δὲ πάλιν ἦλθε, λέγει τὴν μαντείαν τῷ Σωκράτει. ὁ δ' ἀκούσας ᾐτιᾶτο αὐτόν, ὅτι οὐ τοῦτο πρῶτον ἠρώτα, πότερον λῷον εἴη αὐτῷ πορεύεσθαι ἢ μένειν, ἀλλ' αὐτὸς κρίνας ἰτέον εἶναι, τοῦτ' ἐπυνθά-

1. ***γεύομαι***: okusim; v. str. 33. b. 10. — ***ἐπὶ τὰ ὅπλα***: u tabor; na posebnom mjestu stoji oružje. — 2. ***ἀναπαύομαι***: počivam; legli su, ali nijesu mogli. — ***ἐτύγχανον***: v. str. 39. b. 18. — 3. ***πόθος τινός***: želja za. — 4. ***οὕτω διάκειμαι***: tako sam; prevedi: u toj brizi.

7. ***συνακολουθέω***: idem zajedno. — 8. ***μεταπέμπομαι***: pozivam. — ***ξένος ὤν***: jer mu je bio prijatelj. — ***αὐτῷ, αὐτόν***: misli se Ksenofont. — ***ἔλθοι***: mj. ἐάν s konj.; v. str. 30. b. 11. (νικῴη). — 9. ***αὐτὸς ἔφη***: Proksen. — ***κρείττω ἑαυτῷ***: za koga drži da mu je korisniji nego domovina. — 10. ***ἀναγνούς***: pročitavši. — ***ἀνακοινόομαί τινι***: dogovaram se, savjetujem se s kim. — 11. ***ὑποπτεύω***: sumnjam; udešeno kao gl. 'bojati se'; v. str. 10. b. 10. — ***μή τι ὑπαίτιον εἴη***: da ne bi bilo kakvim uzrokom prigovoru od grada (Atene) to, što se oprijateljio. — 12. ***ὅτι***: jer. — 13. ***προθύμως***: s voljom. — ***συμπολεμέω τινί***: pomažem u ratu komu; Kir je u peloponeskom ratu pristajao od g. 407.—404. uz Spartu. — 14. ***ἐλθόντα***: v. str. 9. b. 1. (προδόντα). — ***ἀνακοινόω τινι***: pitam za savjet. — ***τῷ θεῷ***: razumijeva se Apolon. — 16. ***ἐπινοέω***: kanim. — 17. ***καλῶς πράξας σωθείη***: sretno se vratio: v. str. 30. b. 8. — ***ἀναιρέω***: odgovaram, objavljujem. — ***θεοῖς, οἷς***: θεούς, οἷς; obrnuta atrakcija. — 18. ***ἔδει***: trebalo bi. — 19. ***αἰτιάομαι***: korim. — ***πότερον — ἤ***: da li — ili. — ***εἴη***: v. str. 11. b. 7. — 20. ***κρίνας***: odlučivši.

νετο, ὅπως ἂν κάλλιστα πορευθείη. „Ἐπεὶ μέντοι οὕτως ἤρου, ταῦτ'," ἔφη, „χρὴ ποιεῖν, ὅσα ὁ θεὸς ἐκέλευσεν." ὁ μὲν δὴ Ξενοφῶν οὕτω θυσάμενος, οἷς ἀνεῖλεν ὁ θεός, ἐξέπλει, καὶ καταλαμβάνει ἐν Σάρδεσι Πρόξενον καὶ Κῦρον μέλλοντας ἤδη ὁρμᾶν τὴν ἄνω ὁδόν, καὶ συνεστάθη Κύρῳ.

Ἐπεὶ δὲ ἀπορία ἦν, ἐλυπεῖτο μὲν σὺν τοῖς ἄλλοις καὶ οὐκ ἐδύνατο καθεύδειν· μικρὸν δ' ὕπνου λαχὼν εἶδεν ὄναρ. ἔδοξεν αὐτῷ βροντῆς γενομένης σκηπτὸς ἐμπεσεῖν εἰς τὴν πατρῴαν οἰκίαν, καὶ ἐκ τούτου λάμπεσθαι πᾶσα. περίφοβος δ' εὐθὺς ἀνηγέρθη, καὶ τὸ ὄναρ τῇ μὲν ἔκρινεν ἀγαθόν, ὅτι ἐν πόνοις ὢν καὶ κινδύνοις φῶς μέγα ἐκ Διὸς ἰδεῖν ἔδοξε, τῇ δὲ καὶ ἐφοβεῖτο, ὅτι ἀπὸ Διὸς μὲν βασιλέως τὸ ὄναρ ἐδόκει αὐτῷ εἶναι, κύκλῳ δὲ ἐδόκει λάμπεσθαι τὸ πῦρ, μὴ οὐ δύναιτο ἐκ τῆς χώρας ἐξελθεῖν τῆς βασιλέως, ἀλλ' εἴργοιτο πάντοθεν ὑπό τινων ἀποριῶν. ὁποῖόν τι μὲν δή ἐστι τὸ τοιοῦτον ὄναρ ἰδεῖν, ἔξεστι σκοπεῖν ἐκ τῶν συμβάντων μετὰ τὸ ὄναρ. γίγνεται γὰρ τάδε. εὐθὺς ἐπειδὴ ἀνηγέρθη, πρῶτον μὲν ἔννοια αὐτῷ ἐμπίπτει· „τί κατάκειμαι; ἡ δὲ νὺξ προβαίνει· ἅμα δὲ τῇ ἡμέρᾳ εἰκὸς τοὺς πολεμίους ἥξειν. εἰ δὲ γενησόμεθα ἐπὶ βασιλεῖ, τί ἐμποδών, μὴ οὐχὶ πάντα μὲν τὰ χαλεπώτατα ἐπιδόντας, πάντα δὲ τὰ δεινότατα παθόντας ὑβριζομένους ἀποθανεῖν; ὅπως δ' ἀμυνούμεθα, οὐδεὶς παρασκευάζεται οὐδὲ ἐπιμελεῖται, ἀλλὰ κατακείμεθα ὥσπερ ἐξὸν ἡσυχίαν ἄγειν. ἐγὼ οὖν τὸν ἐκ ποίας πόλεως στρατηγὸν προσδοκῶ ταῦτα πράξειν;

1. ***ὅπως ἄν***: kako bi. — ***ἐπεὶ μέντοι***: kad već. — 3. ***οἷς ἀνεῖλεν***: dopuni θύεσθαι. — ***καταλαμβάνω***: zatečem. — 4. ***ὁρμᾶν τὴν ἄνω ὁδόν***: krenuti putem gore (u Aziju). — ***συνίστημί τινά τινι***: predstavljam koga komu.

5. ***λυπέομαι***: u brizi sam. — 6. ***λαγχάνω τινός***: dobijem; v. str. 18. b. 2. (αὐτοῦ); μικρὸν ὕπνου λαχών: pridrijemavši. — ***εἶδεν ὄναρ***: usni san. — ***βροντή***: grmljavina. — 7. ***σκηπτός***: strijela, grom. — ***ἐκ τούτου***: od toga. — ***λάμπεσθαι πᾶσα***: sva je planula. — 8. ***περίφοβος***: prestravljen. — ***ἀνεγείρομαι***: budim se. — ***τῇ μὲν — τῇ δέ***: u jednu ruku — u drugu ruku. — 9. ***φῶς***: svjetlost. — 10. ***ὅτι***: jer. — 11. ***μὴ οὐ***: zavisno o ἐφοβεῖτο; v. str. 10. b. 10. (καί). — 12. ***εἴργω***: zatvoram. — ***πάντοθεν***: odasvud. — ***ὁποῖόν τι — ἐστι***: što to znači. — 13. ***ἐκ τῶν συμβάντων***: po onom, što se zbilo. — 15. ***ἔννοια***: misao. — ***ἅμα τῇ ἡμέρᾳ***: zorom. — 16. ***εἰκός***: dopuni ἐστίν; vjerojatno je, sva je prilika; prevedi: po svoj prilici doći će. — ***εἰ — ἐπὶ βασιλεῖ***: budemo li u vlasti kraljevoj. — 17. ***ἐμποδών***: ἐστίν, na putu je. — ***μὴ οὐχί***: da ne; dvije negacije stoje poslije gl. 'poricati, smetati, zabranjivati, uzdržavati se', ako su negirani ili u negativnom smislu. — ***ἐπιδόντας*** (ἐφοράω) — ***ἀποθανεῖν***: da ne doživimo, prepatimo i zlostavljeni umremo. — 18. ***ὅπως***: v. str. 2. b. 7. — 19. ***ὥσπερ ἐξόν***: kao da (nam) je slobodno, aps. ak.; mj. gen. aps. imadu bezlični glagoli ak. aps. — 20. ***προσδοκάω***: očekujem; iz kojega grada

ποίαν δ᾽ ἡλικίαν ἐμαυτῷ ἐλθεῖν ἀναμένω; οὐ γὰρ ἔγωγ᾽ ἔτι πρεσβύτερος ἔσομαι, ἐὰν τήμερον προδῶ ἐμαυτὸν τοῖς πολεμίοις." ἐκ τούτου ἀνίσταται καὶ συγκαλεῖ τοὺς Προξένου πρῶτον λοχαγούς.

14. Ksenofont govori satnicima Proksenovim.

(III. 1., 15.—33.)

Ἐπεὶ δὲ συνῆλθον, ἔλεξεν· „Ἐγώ, ὦ ἄνδρες λοχαγοί, οὔτε καθεύδειν δύναμαι, ὥσπερ, οἶμαι, οὐδ᾽ ὑμεῖς, οὔτε κατακεῖσθαι ἔτι, ὁρῶν, ἐν οἵοις ἐσμέν. οἱ μὲν γὰρ πολέμιοι δῆλον ὅτι οὐ πρότερον πρὸς ἡμᾶς τὸν πόλεμον ἐξέφηναν, πρὶν ἐνόμισαν καλῶς τὰ ἑαυτῶν παρασκευάσασθαι, ἡμῶν δ᾽ οὐδεὶς οὐδὲν ἀντεπιμελεῖται, ὅπως ὡς κάλλιστα ἀγωνιούμεθα. καὶ μήν, εἰ ὑφησόμεθα καὶ ἐπὶ βασιλεῖ γενησόμεθα, τί οἰόμεθα πείσεσθαι; ὃς καὶ τοῦ ὁμομητρίου ἀδελφοῦ καὶ τεθνηκότος ἤδη ἀποτεμὼν τὴν κεφαλὴν καὶ τὴν χεῖρα ἀνεσταύρωσεν· ἡμᾶς δέ, οἷς κηδεμὼν μὲν οὐδεὶς πάρεστιν, ἐστρατεύσαμεν δὲ ἐπ᾽ αὐτὸν ὡς δοῦλον ἀντὶ βασιλέως ποιήσοντες καὶ ἀποκτενοῦντες, εἰ δυναίμεθα, τί ἂν οἰόμεθα παθεῖν; ἆρ᾽ οὐκ ἂν ἐπὶ πᾶν ἔλθοι, ὡς ἡμᾶς τὰ ἔσχατα αἰκισάμενος πᾶσιν ἀνθρώποις φόβον παράσχοι τοῦ στρατεῦσαί ποτε ἐπ᾽ αὐτόν; ἀλλ᾽ ὅπως τοι μὴ ἐπ᾽ ἐκείνῳ γενησόμεθα, πάντα ποιητέον. ἐγὼ μὲν οὖν, ἔστε μὲν αἱ σπονδαὶ

(iz Sparte) očekujem, da to učini? — 1. **ποίαν ἡλικίαν**: kakvu starost čekam, da mi dođe, t. j. meni je 30 godina, mogu biti vođa; ako se predam, poginut ću još danas i ne ću dočekati, da budem za vojvodstvo stariji. — 2. **ἐκ τούτου**: zatim.

4. **συνῆλθον**: satnici Proksenovi i to 25. listopada g. 401. — **λοχαγός**: v. str. 3. b. 7. — 6. **ἐν οἵοις**: u kakvim prilikama. — **δῆλον ὅτι**: v. str. 10. b. 5. — 7. **τὸν πόλεμον ἐξέφηναν**: otvoreno se zaratiše. — **τὰ ἑαυτῶν**: svoje t. j. što im treba. — 8. **οὐδεὶς οὐδέν**: v. str. 9. b. 4. — **ἀντεπιμελέομαι**: brinem se nasuprot. — **ἀγωνίζομαι**: borim se; v. str. 2. b. 7. — 9. **καὶ μήν**: ali ipak. -- **ὑφίεμαι**: popuštam, podajem se. — **ἐπὶ βασιλεῖ**: v. str. 45. b. 16. — **πάσχω**: događa mi se. — 10. **ὁμομήτριος**: od iste majke, rođeni. — **καὶ τεθνηκότος**: pače mrtva. — 11. **ἀνεσταύρωσεν**: dodaj αὐτόν t. j. sakato tijelo; **ἀνασταυρόω**: nabijam na kolac. — **ἡμᾶς δέ**: nastavlja se τί ἂν παθεῖν. — **κηδεμών**: skrbnik, zaštitnik. — 12. **ὡς**: v. str. 2. b. 5. — **ἀντί**: mjesto, od. — 13. **ἂν παθεῖν**: v. str. 9. b. 8. (ἄν). — 14. **ἐπὶ πᾶν ἔλθοι**: na sve bi se dao, sve bi učinio. — **ὡς**: da. — **τὰ ἔσχατα αἰκισάμενος** (αἰκίζομαι): krajnjim mukama izmučivši; v. str. 8. b. 11. (τά). — 15. **τοῦ στρατεῦσαι**: gen. obj. radi φόβος, v. str. 4. b. 2.; da zada strah, da ne zavojšte. — **ὅπως**: v. str. 2. b. 7. — **τοί**: doista. — 16. **ἐπί**: v. str. 45. b. 16. — **ἔστε**: dok.

ἦσαν, οὔποτε ἐπαυόμην ἡμᾶς μὲν οἰκτείρων, βασιλέα δὲ καὶ τοὺς σὺν αὐτῷ μακαρίζων, διαθεώμενος αὐτῶν ὅσην μὲν χώραν καὶ οἵαν ἔχοιεν, ὡς δὲ ἄφθονα τὰ ἐπιτήδεια, ὅσους δὲ θεράποντας, ὅσα δὲ κτήνη, χρυσὸν δέ, ἐσθῆτα δέ· τὰ δ᾽ αὖ τῶν στρατιωτῶν ὁπότε ἐνθυμοίμην, ὅτι τῶν μὲν ἀγαθῶν τούτων οὐδενὸς ἡμῖν μετείη, εἰ μὴ πριαίμεθα, ὅτου δ᾽ ὠνησόμεθα, ᾔδειν ἔτι ὀλίγους ἔχοντας, ἄλλως δέ πως πορίζεσθαι τὰ ἐπιτήδεια ἢ ὠνουμένους ὅρκους ἤδη κατέχοντας ἡμᾶς· ταῦτ᾽ οὖν λογιζόμενος ἐνίοτε τὰς σπονδὰς μᾶλλον ἐφοβούμην ἢ νῦν τὸν πόλεμον. ἐπεὶ μέντοι ἐκεῖνοι ἔλυσαν τὰς σπονδάς, λελύσθαι μοι δοκεῖ καὶ ἡ ἐκείνων ὕβρις καὶ ἡ ἡμετέρα ὑποψία. ἐν μέσῳ γὰρ ἤδη κεῖται ταῦτα τὰ ἀγαθὰ ἆθλα, ὁπότεροι ἂν ἡμῶν ἄνδρες ἀμείνονες ὦσιν, ἀγωνοθέται δ᾽ οἱ θεοί εἰσιν, οἳ σὺν ἡμῖν, ὡς τὸ εἰκός, ἔσονται. οὗτοι μὲν γὰρ αὐτοὺς ἐπιωρκήκασιν· ἡμεῖς δὲ πολλὰ ὁρῶντες ἀγαθὰ στερρῶς αὐτῶν ἀπειχόμεθα διὰ τοὺς τῶν θεῶν ὅρκους· ὥστε ἐξεῖναί μοι δοκεῖ ἰέναι ἐπὶ τὸν ἀγῶνα πολὺ σὺν φρονήματι μείζονι ἢ τούτοις. ἔτι δ᾽ ἔχομεν σώματα ἱκανώτερα τούτων καὶ ψύχη καὶ θάλπη καὶ πόνους φέρειν· ἔχομεν δὲ καὶ ψυχὰς σὺν τοῖς θεοῖς ἀμείνονας· οἱ δὲ ἄνδρες καὶ τρωτοὶ καὶ θνητοὶ μᾶλλον ἡμῶν, ἢν οἱ θεοὶ ὥσπερ τὸ πρόσθεν νίκην ἡμῖν διδῶσιν. ἀλλ᾽ ἴσως γὰρ

1. **ἐπαυόμην — οἰκτείρων, μακαρίζων**: uz gl. ʽpočinjati, prestajati' stoji part. pred., nijesam prestajao žaliti, nazivati sretnima. — 2. **διαθεώμενος**: kad sam vidio. — **αὐτῶν**: αὐτῶν χώραν, ὅσην; v. str. 11. b. 7. (εἴη). — 3. **ἄφθονος**: obilat. — **τὰ ἐπιτήδεια**: v. str. 10. b. 15. — **θεράπων**: sluga. — **κτῆνος**: blago, stoka. — 4. **τὰ τῶν στρατιωτῶν**: prilike naših vojnika. — **ἐνθυμέομαι**: uzimam na um; v. str. 2. b. 10. — 5. **τῶν — τούτων**: gen. part. od οὐδενός a οὐδενός gen. part. od μετείη. — **μέτεστί μοί τινος**: imam dio u čemu. — **εἰ μή**: već ako. — **ὅτου**: οὗτινος, čim, gen. pretii; poredaj: ᾔδειν ἔχοντας, ὅτου; v. str. 3. b. 11. — 6. **ἄλλως**: ὅρκους δὲ ἤδη κατέχοντας ἡμᾶς ἄλλως πως ἢ ὠνουμένους πορίζεσθαι; znao sam, da nam već zakletva ne da dobavljati hranu drukčije kako nego. — 7. **λογίζομαι**: razmišljam. — 8. **ἐνίοτε**: katkad. — 10. **ὑποψία**: sumnja. — 11. **ἆθλα**: dopuni τούτοις, kao nagrada onima. — **ὁπότερος**: koji (od dvojice). — **ἄν**: v. str. 9. b. 4. — **ἀγωνοθέτης**: sudac (kod takme). — 12. **ὡς τὸ εἰκός**: ἐστίν, kako je prirodno. — **οὗτοι**: barbari. — **ἐπιορκέω τινά**: krivo se kunem kim. — 13. **στερρῶς**: čvrsto, postojano. — **ἀπέχομαί τινος**: uzdržavam se od; v. str. 19. b. 12. — 14. **ὥστε**: v. str. 4. b. 4. — **ἀγών**: borba. — 15. **πολύ**: sastavi sa μείζονι; v. str. 19. b. 2.; s mnogo većim uzdanjem. — **τούτοις**: zavisno o ἐξεῖναι. — **ἱκανός**: vrstan, sastavi sa φέρειν. — 16. **τούτων**: gen. comparat., misli barbare. — **ψῦχος**: studen. — **θάλπος**: vrućina. — 17. **σὺν τοῖς θεοῖς**: s pomoću božjom. — **τρωτοὶ καὶ θνητοὶ μᾶλλον ἡμῶν**: lakše je raniti i ubiti nego nas. Perzijanci su bili slabije oružani. — 18. **ἤν**: ἐάν; v. str. 2. b. 8.

καὶ ἄλλοι ταὐτὰ ἐνθυμοῦνται, πρὸς τῶν θεῶν μὴ ἀναμένωμεν ἄλλους ἐφ' ἡμᾶς ἐλθεῖν παρακαλοῦντας ἐπὶ τὰ κάλλιστα ἔργα, ἀλλ' ἡμεῖς ἄρξωμεν τοῦ ἐξορμῆσαι καὶ τοὺς ἄλλους ἐπὶ τὴν ἀρετήν· φάνητε τῶν λοχαγῶν ἄριστοι καὶ τῶν στρατηγῶν ἀξιοστρατηγότεροι. κἀγὼ δέ, εἰ μὲν ὑμεῖς ἐθέλετε ἐξορμᾶν ἐπὶ ταῦτα, ἕπεσθαι ὑμῖν βούλομαι, εἰ δ' ὑμεῖς τάττετ' αὐτόν με ἡγεῖσθαι, οὐδὲν προφασίζομαι τὴν ἡλικίαν, ἀλλὰ καὶ ἀκμάζειν ἡγοῦμαι ἐρύκειν ἀπ' ἐμαυτοῦ τὰ κακά.

Ὁ μὲν ταῦτ' ἔλεξεν, οἱ δὲ λοχαγοὶ ἀκούσαντες ἡγεῖσθαι ἐκέλευον πάντες, πλὴν Ἀπολλωνίδης τις ἦν βοιωτιάζων τῇ φωνῇ· οὗτος δ' εἶπεν, ὅτι φλυαροίη, ὅστις λέγει ἄλλως πως σωτηρίας ἂν τυχεῖν ἢ βασιλέα πείσας, εἰ δύναιτο, καὶ ἅμα ἤρχετο λέγειν τὰς ἀπορίας. ὁ μέντοι Ξενοφῶν μεταξὺ ὑπολαβὼν ἔλεξεν ὧδε· „Ὦ θαυμασιώτατε ἄνθρωπε, σύγε οὐδὲ ὁρῶν γιγνώσκεις, οὐδὲ ἀκούων μέμνησαι. ἐν ταὐτῷ γε μέντοι ἦσθα τούτοις, ὅτε βασιλεύς, ἐπεὶ Κῦρος ἀπέθανε, καταφρονήσας ἐπὶ τούτῳ πέμπων ἐκέλευε παραδιδόναι τὰ ὅπλα. ἐπεὶ δὲ ἡμεῖς οὐ παραδόντες, ἀλλ' ἐξοπλισάμενοι ἐλθόντες παρεσκηνήσαμεν αὐτῷ, τί οὐκ ἐποίησε πρέσβεις πέμπων καὶ σπονδὰς αἰτῶν καὶ παρέχων τὰ ἐπιτήδεια, ἔστε σπονδῶν ἔτυχεν; ἐπεὶ δ' αὖ οἱ στρατηγοὶ καὶ λοχαγοί, ὥσπερ δὴ σὺ κελεύεις, εἰς λόγους αὐτοῖς ἄνευ ὅπλων ἦλθον πιστεύσαντες ταῖς σπονδαῖς, οὐ νῦν

1. **πρὸς τῶν θεῶν**: tako vam bogova. — **ἀναμένωμεν**: conj. adhort., sastavi sa ἀλλ'. — **ἄλλους ἐλθεῖν**: zavisno o ἀναμένωμεν, da nam drugi dođu. — 2. **παρακαλοῦντας**: koji će nas; v. str. 2. b. 5. (ὡς). — **ἄρξωμεν τοῦ ἐξορμῆσαι**: prvi potaknimo; v. str. 14. b. 16. i str. 20. b. 14. — 4. **ἀξιοστράτηγος**: vrijedan časti vojvodske. — **κἀγώ**: καὶ ἐγώ. — 6. **αὐτόν με**: mene samoga. — **ἡγεῖσθαι**: da prednjačim t. j. prvi potičem. — **προφασίζομαι τὴν ἡλικίαν**: izgovaram se mladošću svojom. — 7. **ἀκμάζω**: u naponu sam, jak sam. — **ἡγέομαι**: mislim. — **ἐρύκειν**: zavisno o ἀκμάξω, jak sam odbijati.

8. **ἡγεῖσθαι**: v. b. 6. — 9. **βοιωτιάζω τῇ φωνῇ**: govorim narječjem beotskim. — 10. **φλυαρέω**: brbljam, uludo govorim; v. str. 2. b. 4. (ὡς). — **σωτηρίας ἂν τυχεῖν**: da će steći; v. str. 9. b. 8. (ἄν) i str. 18. b. 2. (αὐτοῦ). — 11. **πείσας**: namolivši. — **εἰ**: potencijalna hipotetska vrsta; v. str. 12. b. 13. (ἃ δοίη). — **λέγειν**: pominjati. — 12. **μεταξὺ ὑπολαβών**: usred riječi prekide ga i. — **θαυμάσιος**: čudan. — 13. **οὐδὲ ὁρῶν γιγνώσκεις**: ako i gledaš, ne razbiraš; gledaš a ne razbiraš. — **μέμνημαι**: pamtim. — **ἐν ταὐτῷ — τούτοις**: ta bar si bio na istom mjestu, kao što ti. — 14. **καταφρονήσας ἐπὶ τούτῳ**: ponijevši se tim t. j. što je Kir pao. — 15. **οὐ παραδόντες**: nijesmo predali, već smo naoružavši se došli i. — 16. **παρασκηνέω τινί**: taborim se blizu koga. — 17. **ἔστε**: dok. — **σπονδῶν**: v. str. 18. b. 2.

ἐκεῖνοι παιόμενοι, κεντούμενοι, ὑβριζόμενοι οὐδὲ ἀποθανεῖν οἱ τλήμονες δύνανται, καὶ μάλ', οἶμαι, ἐρῶντες τούτου; ἃ σὺ πάντα εἰδὼς τοὺς μὲν ἀμύνασθαι κελεύοντας φλυαρεῖν φῄς, πείθειν δὲ πάλιν κελεύεις ἰόντας; ἐμοί, ὦ ἄνδρες, δοκεῖ τὸν ἄνθρωπον τοῦτον μήτε προσίεσθαι εἰς ταὐτὸ ἡμῖν αὐτοῖς ἀφελομένους τε τὴν λοχαγίαν σκεύη ἀναθέντας ὡς τοιούτῳ χρῆσθαι. οὗτος γὰρ καὶ τὴν πατρίδα καταισχύνει καὶ πᾶσαν τὴν Ἑλλάδα, ὅτι Ἕλλην ὢν τοιοῦτός ἐστιν."

Ἐντεῦθεν ὑπολαβὼν Ἀγασίας Στυμφάλιος εἶπεν· „Ἀλλὰ τούτῳ γε οὔτε τῆς Βοιωτίας προσήκει οὐδὲν οὔτε τῆς Ἑλλάδος παντάπασιν, ἐπεὶ ἐγὼ αὐτὸν εἶδον ὥσπερ Λυδὸν ἀμφότερα τὰ ὦτα τετρυπημένον." καὶ εἶχεν οὕτως. τοῦτον μὲν οὖν ἀπήλασαν· οἱ δὲ ἄλλοι παρὰ τὰς τάξεις ἰόντες, ὅπου μὲν στρατηγὸς σῶς εἴη, τὸν στρατηγὸν παρεκάλουν, ὁπόθεν δὲ οἴχοιτο, τὸν ὑποστράτηγον, ὅπου δ' αὖ λοχαγὸς σῶς εἴη, τὸν λοχαγόν. ἐπεὶ δὲ πάντες συνῆλθον, εἰς τὸ πρόσθεν τῶν ὅπλων ἐκαθέζοντο. καὶ ἐγένοντο οἱ συνελθόντες στρατηγοὶ καὶ λοχαγοὶ ἀμφὶ τοὺς ἑκατόν. ὅτε δὲ ταῦτα ἦν, σχεδὸν μέσαι ἦσαν νύκτες.

15. Izbor vojvoda i Ksenofontovi prijedlozi o daljem putu.

(III. 2., 7.—39.; 3., 1.)

Pred sakupljenim vojvodama i satnicima progovori opet Ksenofont, a Lakedemonjanin Hirisof predloži, da sebi biraju glavare oni,

1. **ἐκεῖνοι — οἱ τλήμονες**: oni jadnici, gdje ih. — **παίω**: bijem. — **κεντέω**: bodem. — **ὑβρίζω**: zlostavljam. — **οὐδὲ ἀποθανεῖν**: ne mogu ni umrijeti; jer su im vezane ruke, ne mogu se sami ubiti. — 2. **καὶ μαλ' ἐρῶντες** (ἐράω): ako i to veoma žele; v. str. 32. b. 11. (ὅτου). — **τοὺς κελεύοντας**: zavisno o φῄς a ἀμύνασθαι (obraniti se) o κελεύοντας. — 3. **πάλιν**: sastavi sa ἰόντας, da opet idemo i molimo. — 4. **δοκεῖ μοι**: sudim. — **μήτε προσίεσθαι εἰς**: da ga ne puštamo na isto mjesto, gdje smo mi sami; ne puštamo među nas. — 5. **ἀφελομένους τε**: već da mu uzmemo. — **σκεύη** (σκεῦος) **ἀναθέντας χρῆσθαι**: pa da naprtimo prtljagu i. — **ὡς τοιούτῳ**: kao takva t. j. kao trhonošu. — 6. **καταισχύνω**: sramotim.

8. **ὑπολαβών**: prihvativši. — **Στυμφάλιος**: v. str. 5. b. 14. — 9. **προσήκει μοί τινος**: pripada mi dio nečega, tiče me se što. — **παντάπασιν**: uopće. — 10. **τὰ ὦτα**: ak. obzira. — **τρυπάω**: bušim; gdje su oba uha probušena; v. str. 3. b. 11.; barbari su nosili naušnice. — 11. **εἶχεν**: v. str. 3. b. 3. (ἐνοῖκῶς). — **παρὰ τὰς τάξεις**: duž odjela; pozivali su u skupštinu glave ostalih četa, koliki su još živi bili. — 12. **σῶς**: zdrav, živ. — **εἴη**: v. str. 2. b. 10. (ἀφικνοῖτο). — 13. **οἴχομαι**: otišao sam, nestalo me je. — 14. **εἰς τὸ πρόσθεν τῶν ὅπλων**: pred tabor. — 15. **ἐγένοντο**: bilo je onih vojvoda i lohaga, koji. — 16. **σχεδόν**: blizu, gotovo.

koji ih nemaju, a onda neka se sazove sva vojska. Mjesto Proksena izaberu Ksenofonta. Pred vojskom rano ujutru progovori najprije Hirisof, za njim Kleanor, koga su izabrali mjesto Agije, i napokon Ksenofont.

Ἐκ τούτου Ξενοφῶν ἀνίσταται ἐσταλμένος ἐπὶ πόλεμον, ὡς ἐδύνατο κάλλιστα, νομίζων, εἴτε νίκην διδοῖεν οἱ θεοί, τὸν κάλλιστον κόσμον τῷ νικᾶν πρέπειν, εἴτε τελευτᾶν δέοι, ὀρθῶς ἔχειν τῶν καλλίστων ἑαυτὸν ἀξιώσαντα ἐν τούτοις τῆς τελευτῆς τυγχάνειν· τοῦ λόγου δὴ ἤρχετο ὧδε· „Τὴν μὲν τῶν βαρβάρων ἐπιορκίαν τε καὶ ἀπιστίαν λέγει μὲν Κλεάνωρ, ἐπίστασθε δὲ καὶ ὑμεῖς, οἶμαι. εἰ μὲν οὖν βουλόμεθα πάλιν αὐτοῖς διὰ φιλίας ἰέναι, ἀνάγκη ἡμᾶς πολλὴν ἀθυμίαν ἔχειν, ὁρῶντας καὶ τοὺς στρατηγούς, οἳ διὰ πίστεως αὐτοῖς ἑαυτοὺς ἐνεχείρισαν, οἷα πεπόνθασιν· εἰ μέντοι διανοούμεθα σὺν τοῖς ὅπλοις ὧν τε πεποιήκασι δίκην ἐπιθεῖναι αὐτοῖς καὶ τὸ λοιπὸν διὰ παντὸς πολέμου αὐτοῖς ἰέναι, σὺν τοῖς θεοῖς πολλαὶ ἡμῖν καὶ καλαὶ ἐλπίδες εἰσὶ σωτηρίας.“

Τοῦτο δὲ λέγοντος αὐτοῦ πτάρνυταί τις· ἀκούσαντες δ᾽ οἱ στρατιῶται πάντες μιᾷ ὁρμῇ προσεκύνησαν τὸν θεόν, καὶ ὁ Ξενοφῶν εἶπε· „Δοκεῖ μοι, ὦ ἄνδρες, ἐπεὶ περὶ σωτηρίας ἡμῶν λεγόντων οἰωνὸς τοῦ Διὸς τοῦ σωτῆρος ἐφάνη, εὔξασθαι τῷ θεῷ τούτῳ θύσειν σωτήρια, ὅπου ἂν πρῶτον εἰς φιλίαν χώραν ἀφικώμεθα, συνεπεύξασθαι δὲ καὶ τοῖς

1. ***ἐκ τούτου***: zatim. — ***ἐσταλμένος***: opremljen. — 2. ***εἴτε — εἴτε***: bilo da — bilo da. — ***διδοῖεν***: indirektno prikazivanje; v. str. 30. b. 11. (νικῴη). — ***τὸν κάλλιστον — πρέπειν***: zavisno o νομίζων. — 3. ***τῷ νικᾶν***: pobjedi. — ***ὀρθῶς ἔχειν***: zavisno o νομίζων; v. str. 3. b. 3. (ἐνοϊκῶς). — ***τῶν καλλίστων***: držati se vrijednim onoga, što je najljepše, i u tome umrijeti; v. str. 18. b. 2. (αὐτοῦ). — 4. ***τοῦ λόγου ἤρχετο***: v. str. 20. b. 13. — 5. ***ἐπιορκία***: kriva zakletva. — ***ἀπιστία***: nevjera. — ***λέγω***: pominjem. — 6. ***αὐτοῖς διὰ φιλίας ἰέναι***: živjeti u prijateljstvu s njima. — 7. ***ἀνάγκη***: v. str. 9. b. 1. — ***ἀθυμίαν ἔχειν***: klonuti. — ***ὁρῶντας***: sastavi sa ἡμᾶς. — ***τοὺς στρατηγούς***: obj. od ὁρῶντας. — 8. ***διὰ πίστεως***: na vjeru. — ***ἐγχειρίζω***: predajem (u ruke). — ***οἷα***: zavisno o ὁρῶντας. — 9. ***διανοέομαι***: mislim, kanim. — ***ὧν***: τούτων (za to), ἅ; v. str. 4. b. 8. (ὧν). — 10. ***τὸ λοιπόν***: ak. adverbijalni, unapredak. — ***διὰ παντὸς — ἰέναι***: na svaki način ratovati s njima. — ***σὺν τοῖς θεοῖς***: v. str. 47. b. 17.

12. ***πτάρνυμαι***: kišem; što je netko na riječ σωτηρία kihnuo, bio je dobar znak. — 13. ***μιᾷ ὁρμῇ***: jednim mahom. — ***προσκυνέω τινά***: klanjam se komu; valjada su kliknuli: Ζεῦ, σῶσον (spasi, Zeuse), jer im je Zeus poslao taj znak. — 14. ***δοκεῖ μοι***: predlažem. — ***ἡμῶν λεγόντων περί***: dok govorimo o. — ***οἰωνός***: ptica, ovdje 'znak'. — 15. ***εὔξασθαι***: zavisno o δοκεῖ μοι; da se zavjetujemo, da ćemo. — ***σωτήρια***: ἱερά, žrtvu za spas. — ***ὅπου ἄν***: v. str. 9. b. 4. (ἄν). — 16. ***συνεπεύξασθαι***: da se ujedno zavjetujemo. — ***τοῖς ἄλλοις***: sastavi sa θύσειν.

ἄλλοις θεοῖς θύσειν κατὰ δύναμιν. καὶ ὅτῳ δοκεῖ ταῦτ᾽,“ ἔφη, „ἀνατεινάτω τὴν χεῖρα.“ καὶ ἀνέτειναν ἅπαντες. ἐκ τούτου ηὔξαντο καὶ ἐπαιάνισαν. ἐπεὶ δὲ τὰ τῶν θεῶν καλῶς εἶχεν, ἤρχετο πάλιν ὧδε·

„Ἐτύγχανον λέγων, ὅτι πολλαὶ καὶ καλαὶ ἐλπίδες ἡμῖν εἶεν σωτηρίας. πρῶτον μὲν γὰρ ἡμεῖς μὲν ἐμπεδοῦμεν τοὺς τῶν θεῶν ὅρκους, οἱ δὲ πολέμιοι ἐπιωρκήκασί τε καὶ τὰς σπονδὰς παρὰ τοὺς ὅρκους λελύκασιν. οὕτω δ᾽ ἐχόντων εἰκὸς τοῖς μὲν πολεμίοις ἐναντίους εἶναι τοὺς θεούς, ἡμῖν δὲ συμμάχους, οἵπερ ἱκανοί εἰσι καὶ τοὺς μεγάλους ταχὺ μικροὺς ποιεῖν καὶ τοὺς μικρούς, κἂν ἐν δεινοῖς ὦσι, σῴζειν εὐπετῶς, ὅταν βούλωνται. ἔπειτα δὲ ἀναμνήσω γὰρ ὑμᾶς καὶ τοὺς τῶν προγόνων τῶν ἡμετέρων κινδύνους, ἵνα εἰδῆτε, ὡς ἀγαθοῖς τε ὑμῖν προσήκει εἶναι σῴζονταί τε σὺν τοῖς θεοῖς καὶ ἐκ πάνυ δεινῶν οἱ ἀγαθοί. ἐλθόντων μὲν γὰρ Περσῶν καὶ τῶν σὺν αὐτοῖς παμπληθεῖ στόλῳ ὡς ἀφανιούντων τὰς Ἀθήνας, ὑποστῆναι αὐτοὶ Ἀθηναῖοι τολμήσαντες ἐνίκησαν αὐτούς. καὶ εὐξάμενοι τῇ Ἀρτέμιδι, ὁπόσους κατακάνοιεν τῶν πολεμίων, τοσαύτας χιμαίρας καταθύσειν τῇ θεῷ, ἐπεὶ οὐκ εἶχον ἱκανὰς εὑρεῖν, ἔδοξεν αὐτοῖς κατ᾽ ἐνιαυτὸν πεντακοσίας θύειν, καὶ ἔτι νῦν ἀποθύουσιν. ἔπειτα, ὅτε Ξέρξης ὕστερον ἀγείρας τὴν ἀναρίθμητον στρατιὰν ἦλθεν ἐπὶ τὴν Ἑλλάδα, καὶ τότε ἐνίκων οἱ ἡμέτεροι πρόγονοι τοὺς τούτων προγόνους καὶ κατὰ γῆν καὶ θάλατταν. ὧν ἔστι μὲν τεκμήρια ὁρᾶν τὰ τρόπαια, μέ-

1. ***κατὰ δύναμιν***: po mogućnosti. — ***ὅτῳ***: ᾧτινι. — ***δοκεῖ***: sviđa se. — ***ἀνατείνω***: pružam, dižem. — 2. ***παιανίζω***: pjevam pejan (hvalospjev). — 3. ***τὰ τῶν θεῶν***: služba božja. — ***καλῶς εἶχεν***: bila je u redu; v. st. 3. b. 3. (ἐνοϊκῶς).

4. ***ἐτύγχανον***: upravo, v. str. 1. b. 4. — ***εἶεν***: v. str. 2. b. 4. (ὡς). — 5. ***ἐμπεδόω***: držim. — 6. ***παρά***: mimo. — ***λύω***: kršim. — 7. ***οὕτω ἐχόντων***: kad je tako. — ***εἰκός***: v. str. 47. b. 12. — 8. ***ἱκανός***: vrstan. — 9. ***μικρούς***: malenima. — ***κἄν***: καὶ ἐάν; v. str. 11. b. 2. (ᾧ). — ***δεινά***: pogibli. — ***εὐπετῶς***: lako. — 10. ***ὅταν***: v. str. 5. b. 9. (πρὶν ἄν). — ***ἀναμιμνήσκω τινά τι***: sjećam koga čega. — ***καί***: također. — ***πρόγονοι***: pređi. — 11. ***ἀγαθοῖς εἶναι***: v. str. 9. b. 1. (προδόντα). — ***προσήκει ὑμῖν***: dolikuje vam. — 12. ***σῴζονταί τε***: jer se. — ***πάνυ δεινά***: velike pogibli. — 13. ***οἱ σὺν αὐτοῖς***: saveznici t. j. podanici njihovi. — ***παμπληθής***: mnogobrojan. — ***στόλος***: vojska. — ***ἀφανίζω***: zatirem; v. str. 2. b. 5. (ὡς). — 14. ***ὑποστῆναι***: oprijeti se, zavisno o τολμήσαντες (τολμάω, usuđujem se). — ***αὐτοί***: μόνοι, sami. — 15. ***τῇ Ἀρτέμιδι***: Ἀγροτέρᾳ, Lovici; slava se slavila 6. boedromiona, 20. rujna. — ***κατακάνοιεν***: v. str. 30. b. 11. (νικῴη). — 16. ***χίμαιρα***: koza. — ***ἔχω*** s inf. znači 'mogu, znam'. — ***ἔδοξεν αὐτοῖς***: odlučiše. — 17. ***κατ᾽ ἐνιαυτόν***: svake godine. — 18. ***ἀγείρω***: skupljam. — ***τὴν ἀναρίθμητον***: onu nebrojenu. — 19. ***τούτων***: tih (barbara). — 20. ***ὧν***: a tomu. — ***ἔστι***: ἔξεστι. — ***τεκμήρια***: ak. predikata, za dokaz; poslije pobjede diže pobjednik spomenik od kamena, drva ili mjedi,

*

γιστον δὲ μαρτύριον ἡ ἐλευθερία τῶν πόλεων, ἐν αἷς ὑμεῖς ἐγένεσθε καὶ ἐτράφητε· οὐδένα γὰρ ἄνθρωπον δεσπότην, ἀλλὰ τοὺς θεοὺς προσκυνεῖτε. τοιούτων μέν ἐστε προγόνων.

Οὐ μὲν δὴ τοῦτό γε ἐρῶ, ὡς ὑμεῖς καταισχύνετε αὐτούς· ἀλλ' οὐ πολλαὶ ἡμέραι, ἀφ' οὗ ἀντιταξάμενοι τούτοις τοῖς ἐκείνων ἐκγόνοις πολλαπλασίους ὑμῶν αὐτῶν ἐνικᾶτε σὺν τοῖς θεοῖς. καὶ τότε μὲν δὴ περὶ τῆς Κύρου βασιλείας ἄνδρες ἦτε ἀγαθοί· νῦν δ', ὁπότε περὶ τῆς ὑμετέρας σωτηρίας ὁ ἀγών ἐστι, πολὺ δήπου ὑμᾶς προσήκει καὶ ἀμείνονας καὶ προθυμοτέρους εἶναι. ἀλλὰ μὴν καὶ θαρραλεωτέρους νῦν πρέπει εἶναι πρὸς τοὺς πολεμίους. τότε μὲν γὰρ ἄπειροι ὄντες αὐτῶν, τὸ δὲ πλῆθος ἄμετρον ὁρῶντες, ὅμως ἐτολμήσατε σὺν τῷ πατρῴῳ φρονήματι ἰέναι εἰς αὐτούς· νῦν δέ, ὁπότε καὶ πεῖραν ἤδη ἔχετε αὐτῶν, ὅτι οὐ θέλουσι καὶ πολλαπλάσιοι ὄντες δέχεσθαι ὑμᾶς, τί ἔτι ὑμῖν προσήκει τούτους φοβεῖσθαι;

Μηδὲ μέντοι τοῦτο μεῖον δόξητε ἔχειν, ὅτι οἱ Ἀραίου πρόσθεν σὺν ἡμῖν ταττόμενοι νῦν ἀφεστήκασιν. ἔτι γὰρ οὗτοι κακίονές εἰσι τῶν ὑφ' ἡμῶν ἡττημένων· ἔφευγον γοῦν ἐκείνους καταλιπόντες ἡμᾶς. τοὺς δ' ἐθέλοντας φυγῆς ἄρχειν πολὺ κρεῖττον σὺν τοῖς πολεμίοις ταττομένους ἢ ἐν τῇ ἡμετέρᾳ τάξει ὁρᾶν.

a nakiti ga svakom vrstom oružja, što je oteo neprijatelju. — 1. **μαρτύριον**: svjedočanstvo. — 2. **δεσπότην**: kao gospodaru. — 3. **τοιούτων μέν**: dà, od takvih.

4. **οὐ μὲν δή**: pa i ne. — **καταισχύνω**: sramotim. — 5. **ἡμέραι**: εἰσίν. — **ἀφ' οὗ**: otkako. — **ἔκγονος**: potomak. — **πολλαπλάσιος**: mnogoput jači, brojniji. — 6. **ὑμῶν**: gen. comparat. — **ἐνικᾶτε**: u bici kod Kunakse. — **περί**: za. — 8. **ἀγών**: borba. — **πολύ**: sastavi s ἀμείνονας καὶ προθυμοτέρους. — **δήπου**: valjada. — 9. **πρόθυμος**: spravan. — **ἀλλὰ μήν**: ali opet. — **θαρραλέος**: hrabar. — 10. **ἄπειρός τινος**: nevješt; premda ih nijeste poznavali, već. — 11. **ἄμετρος**: neizmjeran. — **ὅμως**: ipak. — **φρόνημα πατρῷον**: srčanost otaca. — 12. **εἰς**: na. — **πεῖραν ἔχω τινός**: znam koga. — 13. **καὶ ὄντες**: ako i jesu. — **δέχομαι**: dočekam.

15. **μηδὲ δόξητε**: i nemojte pomisliti; imperativ se aorista ne upotrebljava s negacijom, već mjesto njega konj. aor. — **τοῦτο**: u tom, zato; v. str. 8. b. 11. (τὰ ἄλλα). — **μεῖον ἔχειν**: da vam je zato gore; v. str. 3. b. 3. (ἐνοἰκῶς). — **ὅτι**: tumači ono τοῦτο. — **οἱ Ἀριαίου**: vojska Arijejeva. — 16. **ταττόμενοι**: koja se s nama vrstala; koja je s nama stajala. — **ἀφίσταμαι**: odmećem se. — **ἔτι**: sastavi sa κακίονες. — **τῶν ὑφ'**: gen. comparat.; od onih, koji su od vas svladani. — 17. **γοῦν**: bar. — **ἐκείνους**: od onih (barbara); kralj ih je natjerao i osvojio tabor njihov. — **τοὺς ἐθέλοντας φυγῆς ἄρχειν**: one, koji hoće prvi na bijegu da budu; v. str. 14. b. 16. i str. 20. b. 13. — 18. **κρεῖττον**: ἐστίν, odatle je zavisno ὁρᾶν. — **ταττομένους σύν**: gdje stoje sa; v. str. 3. b. 11. (βουλευομένους).

Εἰ δέ τις ὑμῶν ἀθυμεῖ, ὅτι ἡμῖν μὲν οὐκ εἰσὶν ἱππεῖς, τοῖς δὲ πολεμίοις πολλοὶ πάρεισιν, ἐνθυμήθητε, ὅτι οἱ μύριοι ἱππεῖς οὐδὲν ἄλλο ἢ μύριοί εἰσιν ἄνθρωποι· ὑπὸ μὲν γὰρ ἵππου ἐν μάχῃ οὐδεὶς πώποτε οὔτε δηχθεὶς οὔτε λακτισθεὶς ἀπέθανεν, οἱ δὲ ἄνδρες εἰσὶν οἱ ποιοῦντες, ὅ τι ἂν ἐν ταῖς μάχαις γίγνηται. οὐκοῦν τῶν ἱππέων πολὺ ἡμεῖς ἐπ' ἀσφαλεστέρου ὀχήματός ἐσμεν· οἱ μὲν γὰρ ἐφ' ἵππων κρέμανται φοβούμενοι οὐχ ἡμᾶς μόνον, ἀλλὰ καὶ τὸ καταπεσεῖν· ἡμεῖς δ' ἐπὶ γῆς βεβηκότες πολὺ μὲν ἰσχυρότερον παίσομεν, ἤν τις προσίῃ, πολὺ δὲ μᾶλλον, ὅτου ἂν βουλώμεθα, τευξόμεθα. ἑνὶ δὲ μόνῳ προέχουσιν οἱ ἱππεῖς· φεύγειν αὐτοῖς ἀσφαλέστερόν ἐστιν ἢ ἡμῖν.

Εἰ δὲ δὴ τὰς μὲν μάχας θαρρεῖτε, ὅτι δὲ οὐκέτι ὑμῖν Τισσαφέρνης ἡγήσεται οὐδὲ βασιλεὺς ἀγορὰν παρέξει, τοῦτο ἄχθεσθε, σκέψασθε, πότερον κρεῖττον Τισσαφέρνην ἡγεμόνα ἔχειν, ὃς ἐπιβουλεύων ἡμῖν φανερός ἐστιν, ἢ οὓς ἂν ἡμεῖς ἄνδρας λαβόντες ἡγεῖσθαι κελεύωμεν, οἳ εἴσονται, ὅτι, ἤν τι περὶ ἡμᾶς ἁμαρτάνωσι, περὶ τὰς ἑαυτῶν ψυχὰς καὶ σώματα ἁμαρτήσονται. τὰ δὲ ἐπιτήδεια πότερον ὠνεῖσθαι κρεῖττον ἐκ τῆς ἀγορᾶς ἧς οὗτοι παρεῖχον, μικρὰ μέτρα πολλοῦ ἀργυρίου, μηδὲ τοῦτο ἔτι ἔχοντας, ἢ αὐτοὺς λαμβάνειν, ἤνπερ κρατῶμεν, μέτρῳ χρωμένους, ὁπόσῳ ἂν ἕκαστος βούληται.

Εἰ δὲ ταῦτα μὲν γιγνώσκετε, ὅτι κρείττονα, τοὺς δὲ ποταμοὺς ἄπορον νομίζετε εἶναι καὶ μεγάλως ἡγεῖσθε ἐξαπατηθῆναι διαβάντες,

1. **ἀθυμέω**: malodušan sam. — 2. **ἐνθυμέομαι**: uzimam na um. — 4. **δάκνω**: grizem. — **λακτίζω**: udaram (nogom). — 5. **ὅ τι ἄν**: v. str. 11. b. 2. — **οὐκοῦν**: dakle, u pitanju 'zar'. — **τῶν ἱππέων**: ἡμεῖς ἐσμεν ἐπ' ὀχήματος πολὺ ἀσφαλεστέρου τῶν ἱππέων (gen. comparat.). — 6. **ὄχημα**: podloga. — **κρέμαμαι**: visim, lebdim. — 7. **καὶ τὸ καταπεσεῖν**: i to, da ne spadnu. — 9. **ὅτου**: οὗτινος, dopuni τυχεῖν (pogoditi); v. str. 18. b. 2. (αὐτοῦ). — **ἑνὶ μόνῳ**: samo jednim. — **προέχω**: natkriljujem.

11. **τὰς μάχας θαρρεῖτε**: ako se ne bojite bitaka, već ste zabrinuti (ἄχθεσθε) stoga, što ne će Tisaferno. — 12. **ἡγέομαί τινι**: vodič sam, pokazujem put; **ἡγέομαί τινος**: vodim koga, zapovjednik sam. — **πότερον — ἤ**: da li — ili — 13. **κρεῖττον**: ἐστίν. — **φανερός ἐστιν**: v. str. 30. b. 9., ἐπιβουλεύω: radim o glavi. — 14. **ἢ οὕς**: τούτους τοὺς ἄνδρας, οὕς; ili (imati za vodiče) one ljude, koje bismo samo uzeli i. — 15. **ἤν**: ἐάν. — **περὶ ἡμᾶς**: o nas ogriješe. — 16. **τὰ ἐπιτήδεια**: v. str. 10. b. 15. — 17. **ἧς**: ἥν; v. str. 4. b. 8. (ὧν). — **μέτρον**: mjera. — **πολλοῦ ἀργυρίου**: gen. pretii, za velik novac. — **μηδὲ τοῦτο ἔτι ἔχοντας**: pa kad ni njega (novca) više ne bi imali. — 18. **ἤνπερ**: ἐάνπερ, akono. — 19. **ὁπόσῳ ἄν**: v. str. 11. b. 2. (ᾧ). — **βούληται**: dopuni χρῆσθαι.

20. **ταῦτα**: v. str. 20. b. 12. (τὴν κρίσιν). — **τοὺς ποταμούς**: Tigris i Eufrat. — 21. **ἄπορον**: nešto teško, zapreka. — **μεγάλως**: sastavi s ἐξαπατηθῆναι (ἐξαπατάω, varam). — **ἡγέομαι**: mislim. — **διαβάντες**: što ste

σκέψασθε, εἰ ἄρα τοῦτο καὶ μωρότατον πεποιήκασιν οἱ βάρβαροι. πάντες γὰρ ποταμοί, ἢν καὶ πρόσω τῶν πηγῶν ἄποροι ὦσι, προϊοῦσι πρὸς τὰς πηγὰς διαβατοὶ γίγνονται οὐδὲ τὸ γόνυ βρέχοντες.

Εἰ δὲ μήθ' οἱ ποταμοὶ διήσουσιν ἡγεμών τε μηδεὶς ἡμῖν φανεῖται, οὐδ' ὣς ἡμῖν γε ἀθυμητέον. ἐπιστάμεθα μὲν γὰρ Μυσούς, οὓς οὐκ ἂν ἡμῶν φαίημεν βελτίους εἶναι, ὅτι ἐν τῇ βασιλέως χώρᾳ πολλάς τε καὶ εὐδαίμονας καὶ μεγάλας πόλεις οἰκοῦσιν, ἐπιστάμεθα δὲ Πισίδας ὡσαύτως, Λυκάονας δὲ καὶ αὐτοὶ εἴδομεν, ὅτι ἐν τοῖς πεδίοις τὰ ἐρυμνὰ καταλαβόντες τὴν τούτων χώραν καρποῦνται· καὶ ἡμᾶς δ' ἂν ἔφην ἔγωγε χρῆναι μήπω φανεροὺς εἶναι οἴκαδε ὡρμημένους, ἀλλὰ κατασκευάζεσθαι ὡς αὐτοῦ οἰκήσοντας. οἶδα γάρ, ὅτι καὶ Μυσοῖς βασιλεὺς πολλοὺς μὲν ἡγεμόνας ἂν δοίη, πολλοὺς δ' ἂν ὁμήρους τοῦ ἀδόλως ἐκπέμψειν, καὶ ὁδοποιήσειέ γ' ἂν αὐτοῖς, καὶ εἰ σὺν τεθρίπποις βούλοιντο ἀπιέναι. καὶ ἡμῖν γ' ἂν οἶδ' ὅτι τρισάσμενος ταῦτ' ἐποίει, εἰ ἑώρα ἡμᾶς μένειν κατασκευαζομένους. ἀλλὰ γὰρ δέδοικα, μή, ἂν ἅπαξ μάθωμεν ἀργοὶ ζῆν καὶ ἐν ἀφθόνοις βιοτεύειν, ὥσπερ οἱ λωτοφάγοι ἐπιλαθώμεθα τῆς οἴκαδε ὁδοῦ. δοκεῖ οὖν μοι εἰκὸς καὶ δίκαιον εἶναι πρῶτον εἰς τὴν Ἑλλάδα καὶ πρὸς

prešli. — 1. **εἰ**: nijesu li tim počinili najveću ludost, jer ćete im sad pustošiti ove zemlje. — 2. **πρόσω**: daleko od. — **ἄπορος**: neprohodan. — **προϊοῦσι**: dat., pođeš li prema. — 3. **οὐδὲ βρέχοντες**: da i ne okvase.

4. **διίημι**: propuštam. — 5. **οὐδ' ὥς**: ni ovako. — **Μυσούς**: Mišani na sjeveru Lidije; v. str. 21. b. 3. (ἀφίσταμαι). — 6. **ὅτι**: zavisno o **ἐπιστάμεθα**. — 7. **Πισίδας**: v. str. 5. b. 12. — **ὡσαύτως**: tako isto. — 8. **Λυκάονας**: na jugoistoku Frigije; vidjeli su ih na prolazu, kad su išli s Kirom. — **τὰ ἐρυμνά**: tvrda mjesta. — 9. **καρπόομαι**: uživam, plijenim. — **ἂν ἔφην**: rekao bih (da se ne bojim, da biste se ovdje mogli razbluditi); u irealnoj hipotetskoj rečenici stoji u obje rečenice za sadašnjost impf. a za prošlost ind. aorista, u apodozi se dodaje ἄν. — 10. **φανεροὺς εἶναι ὡρμημένους**: zavisno o χρῆναι, da se očevidno žurimo; v. str. 30. b. 9. — 11. **ὡς**: kao da ćemo se nastaniti. — **αὐτοῦ**: ovdje. — 12. **ἡγεμών**: vodič. — **ὁμήρους τοῦ**: talaca, da će ih. — **ἀδόλως**: bez prijevare. — 13. **ὁδοποιέω**: gradim ceste. — **καὶ εἰ**: pa makar. — **τέθριππον**: kola s 4 konja. — **βούλοιντο**: v. str. 12. b. 13. (ἄ). — 14. **ἄν**: sastavi s ἐποίει; v. str. 54. b. 9. (ἄν). — **οἶδ' ὅτι**: v. str. 15. b. 1. — **τρισάσμενος**: od srca rado; v. str. 5. b. 2. (ἑκών). — **μένειν**: zavisno o κατασκευαζομένους; v. str. 3. b. 11. (βουλευομένους). — 15. **μή**: v. str. 10. b. 10. (καί). — **ἄν**: ἐάν. — **ἀργός**: besposlen. — 16. **ἐν ἀφθόνοις**: u obilju. — **βιοτεύω**: živim, provodim život. — **λωτοφάγοι**: Odisej na putu iz Troje stigne k Lotofazima; tkogod je okusio lotosa, nije htio da ide dalje. Odisej ih je morao silom odvući na lađe (Hom. Od. IX. 84.). — **ὁδοῦ**: gen. memoriae uz gl. 'sjećati se, zaboraviti'. — 17. **εἰκὸς καὶ δίκαιον**: pravo i pravedno.

τοὺς οἰκείους πειρᾶσθαι ἀφικνεῖσθαι καὶ ἐπιδεῖξαι τοῖς Ἕλλησιν, ὅτι ἑκόντες πένονται, ἐξὸν αὐτοῖς τοὺς νῦν σκληρῶς ἐκεῖ πολιτεύοντας ἐνθάδε κομισαμένους πλουσίως ὁρᾶν.

Ἀλλὰ γάρ, ὦ ἄνδρες, πάντα ταῦτα τἀγαθὰ δῆλον ὅτι τῶν κρατούντων ἐστί· τοῦτο δὲ δεῖ λέγειν, ὅπως ἂν πορευοίμεθά τε ὡς ἀσφαλέστατα καί, εἰ μάχεσθαι δέοι, ὡς κράτιστα μαχοίμεθα. πρῶτον μὲν τοίνυν," ἔφη, „δοκεῖ μοι κατακαῦσαι τὰς ἁμάξας, ἃς ἔχομεν, ἵνα μὴ τὰ ζεύγη ἡμῶν στρατηγῇ, ἀλλὰ πορευώμεθα, ὅπῃ ἂν τῇ στρατιᾷ συμφέρῃ· ἔπειτα καὶ τὰς σκηνὰς συγκατακαῦσαι. αὗται γὰρ αὖ ὄχλον μὲν παρέχουσιν ἄγειν, συνωφελοῦσι δ' οὐδὲν οὔτε εἰς τὸ μάχεσθαι οὔτ' εἰς τὸ τὰ ἐπιτήδεια ἔχειν. ἔτι δὲ καὶ τῶν ἄλλων σκευῶν τὰ περιττὰ ἀπαλλάξωμεν, πλὴν ὅσα πολέμου ἕνεκεν ἢ σίτων ἢ ποτῶν ἔχομεν, ἵνα ὡς πλεῖστοι μὲν ἡμῶν ἐν τοῖς ὅπλοις ὦσιν, ὡς ἐλάχιστοι δὲ σκευοφορῶσι. κρατουμένων μὲν γὰρ ἐπίστασθε, ὅτι πάντα ἀλλότρια· ἢν δὲ κρατῶμεν, καὶ τοὺς πολεμίους δεῖ σκευοφόρους ἡμετέρους νομίζειν.

Λοιπόν μοι εἰπεῖν, ὅπερ καὶ μέγιστον νομίζω εἶναι. ὁρᾶτε γὰρ καὶ τοὺς πολεμίους, ὅτι οὐ πρόσθεν ἐξενεγκεῖν ἐτόλμησαν πρὸς ἡμᾶς πόλεμον, πρὶν τοὺς στρατηγοὺς ἡμῶν συνέλαβον, νομίζοντες ὄντων μὲν τῶν ἀρχόντων καὶ ἡμῶν πειθομένων ἱκανοὺς εἶναι ἡμᾶς περιγενέσθαι τῷ

1. **ἀφικνεῖσθαι καὶ ἐπιδεῖξαι**: zavisno o πειρᾶσθαι. — 2. **ἑκόντες**: drage volje; v. str. 5. b. 2. — **πένομαι**: siromašan sam. — **ἐξὸν αὐτοῖς**: premda im je slobodno; v. str. 45. b. 19. — **τοὺς — πολιτεύοντας**: zavisno o κομισαμένους; one, koji mučno živu ondje kao građani. — **ἐνθάδε κομισαμένους ὁρᾶν**: ovamo dopremiti i gledati ih u bogatstvu; v. str. 9. b. 1. (προδόντα). — 3. **πλουσίως**: dopuni πολιτεύοντας.

4. **δῆλον ὅτι**: v. str. 10. b. 5. — **τῶν κρατούντων ἐστί**: gen. pos., pripada pobjednicima. — 5. **ὅπως**: kako. — 6. **δέοι**: v. str. 12. b. 13. (ἄ). — 7. **δοκεῖ μοι**: predlažem. — **τὰ ζεύγη**: jarmovi, tovarna živina. — 8. **στρατηγέω τινός**: vodim koga; v. str. 4. b. 4., za sing. str. 10. b. 5. (οὗτως). — **πορευώμεθα**: konj. adhortativni. — **ὅπῃ ἄν**: v. str. 9. b. 4. (ἄν). — **συμφέρει**: korisno je. — 9. **ὄχλον παρέχουσιν ἄγειν**: oni (šatori) zadaju muku kod otpremanja, muka ih je otpremati. — 10. **συνωφελέω**: koristim. — 11. **τὰ σκεύη**: prtljaga. — **τὰ περιττά**: izlišno. — **ἀπαλλάττω**: uklanjam, konj. adhortativni. — 12. **πλήν**: osim. — **σίτων, ποτῶν**: dopuni ἕνεκα. — **ποτόν**: pilo. — 13. **σκευοφορέω**: prtljagar sam. — **κρατουμένων**: gen. aps., ako nas svladaju. — 14. **πάντα ἀλλότρια**: sve je tuđe t. j. sva imovina svladanih pripada drugima. — 15. **σκευοφόρος**: prtljagar; neprijatelje treba držati za.

16. **λοιπόν**: ἐστίν, ostaje. — 17. **ἐκφέρω πόλεμον**: započinjem rat. — 18. **ὄντων τῶν ἀρχόντων — πειθομένων**: dok imamo vođâ, a mi ih slušamo. — 18. **περιγίγνομαι**: nadvladam.

πολέμῳ, λαβόντες δὲ τοὺς ἄρχοντας ἀναρχίᾳ ἂν καὶ ἀταξίᾳ ἐνόμιζον ἡμᾶς ἀπολέσθαι. δεῖ οὖν πολὺ μὲν τοὺς ἄρχοντας ἐπιμελεστέρους γενέσθαι τοὺς νῦν τῶν πρόσθεν, πολὺ δὲ τοὺς ἀρχομένους εὐτακτοτέρους καὶ πειθομένους μᾶλλον τοῖς ἄρχουσι νῦν ἢ πρόσθεν· ἢν δέ τις ἀπειθῇ, ψηφίσασθαι τὸν ἀεὶ ὑμῶν ἐντυγχάνοντα σὺν τῷ ἄρχοντι κολάζειν· οὕτως οἱ πολέμιοι πλεῖστον ἐψευσμένοι ἔσονται· τῇδε γὰρ τῇ ἡμέρᾳ μυρίους ὄψονται ἀνθ' ἑνὸς Κλεάρχους τοὺς οὐδενὶ ἐπιτρέψοντας κακῷ εἶναι. ἀλλὰ γὰρ καὶ περαίνειν ἤδη ὥρα· ἴσως γὰρ οἱ πολέμιοι αὐτίκα παρέσονται. ὅτῳ οὖν ταῦτα δοκεῖ καλῶς ἔχειν, ἐπικυρωσάτω ὡς τάχιστα, ἵνα ἔργῳ περαίνηται. εἰ δέ τι ἄλλο βέλτιον ἢ ταύτῃ, τολμάτω καὶ ὁ ἰδιώτης διδάσκειν· πάντες γὰρ κοινῆς σωτηρίας δεόμεθα."

Μετὰ ταῦτα Χειρίσοφος εἶπεν· „Ἀλλ' εἰ μέν τινος ἄλλου δεῖ πρὸς τούτοις οἷς λέγει Ξενοφῶν, καὶ αὐτίκα ἐξέσται σκοπεῖν· ἃ δὲ νῦν εἴρηκε, δοκεῖ μοι ὡς τάχιστα ψηφίσασθαι ἄριστον εἶναι· καὶ ὅτῳ δοκεῖ ταῦτα, ἀνατεινάτω τὴν χεῖρα." ἀνέτειναν πάντες.

Ἀναστὰς δὲ πάλιν εἶπε Ξενοφῶν· „Ὦ ἄνδρες, ἀκούσατε ὧν προσδοκεῖ μοι. δῆλον ὅτι πορεύεσθαι ἡμᾶς δεῖ, ὅπου ἕξομεν τὰ ἐπιτήδεια· ἀκούω δὲ κώμας εἶναι καλὰς οὐ πλέον εἴκοσι σταδίων ἀπεχούσας· οὐκ ἂν οὖν θαυμάζοιμεν, εἰ οἱ πολέμιοι, ὥσπερ οἱ δειλοὶ κύνες τοὺς μὲν παριόντας διώκοντες καὶ δάκνουσιν, ἢν δύνωνται, τοὺς δὲ διώκοντας

1. **λαβόντες**: ako nam uzmu. — **ἀναρχία**: anarhija. — **ἄν**: sastavi s ἀπολέσθαι; v. str. 9. b. 8. (ἄν). — **ἀταξία**: nered. — 2. **πολύ**: sastavi s ἐπιμελεστέρους (brižniji). — 3. **τοὺς νῦν τῶν πρόσθεν**: sadašnji od pređašnjih. — **οἱ ἀρχόμενοι**: momčad; ἄρχομαι, pokoravam se. — **εὔτακτος**: uredan. — 4. **πειθόμενος μᾶλλον**: pokorniji. — **ἀπειθέω**: ne slušam. — 5. **ψηφίσασθαι**: zavisno o δεῖ; ψηφίζομαι: odlučujem. — **τὸν ἀεὶ ἐντυγχάνοντα**: tkogod se već od vas na nj (na nepokorna) namjeri, neka ga on i vođa zajedno kazne. — 6. **ἐψευσμένοι ἔσονται**: prevarit će se. — 7. **Κλέαρχος**: v. str. 4. b. 10. — **τοὺς ἐπιτρέψοντας κακῷ εἶναι**: koji ne će nikomu dati, da bude; v. str. 9. b. 1. (προδόντα). — 8. **περαίνω**: izvršujem. — **ὥρα**: ἐστίν, doba je. — 9. **ὅτῳ**: ᾧτινι. — **ἔχειν**: v. str. 3. b. 3. (ἐνοϊκῶς). — **ἐπικυρόω**: potvrđujem, prihvaćam. — 10. **βέλτιον**: dopuni ἔχειν δοκεῖ. — **ταύτῃ**: tako, dopuni ποιεῖν. — **τολμάτω**: neka se usudi, neka slobodno. — **ἰδιώτης**: prost vojnik. — **διδάσκω**: kazujem.

12. **Χειρίσοφος**: Spartanac; poslije smrti Klearhove priznaju ga glavnim zapovjednikom, premda je to uistinu Ksenofont. — **ἄλλου δεῖ**: drugo što treba, gen. inopiae. — 13. **πρὸς τούτοις**: k tomu, osim toga.

16. **ὧν**: τούτων, ἅ; v. str. 4. b. 8. (ὧν). — **προσδοκεῖ**: čini se još osim toga. — 17. **δῆλον ὅτι**: v. str. 10. b. 5. — 18. **σταδίων**: v. str. 26. b. 6., 20 stadija neko 3 km. — **ἀπέχω**: dalek sam. — 19. **δειλός**: plašljiv. — 20. **πάρειμι**: prolazim. — **διώκοντες καί**: progone, što više — ugrizu.

φεύγουσιν, εἰ καὶ αὐτοὶ ἡμῖν ἀπιοῦσιν ἐπακολουθοῖεν. ἴσως οὖν ἀσφαλέστερον ἡμῖν πορεύεσθαι πλαίσιον ποιησαμένους τῶν ὅπλων, ἵνα τὰ σκευοφόρα καὶ ὁ πολὺς ὄχλος ἐν ἀσφαλεστέρῳ ᾖ. εἰ οὖν νῦν ἀποδειχθείη, τίνας χρὴ ἡγεῖσθαι τοῦ πλαισίου καὶ τὰ πρόσθεν κοσμεῖν καὶ τίνας ἐπὶ τῶν πλευρῶν ἑκατέρων εἶναι, τίνας δ' ὀπισθοφυλακεῖν, οὐκ ἄν, ὁπότε οἱ πολέμιοι ἔλθοιεν, βουλεύεσθαι ἡμᾶς δέοι, ἀλλὰ χρῴμεθα ἂν εὐθὺς τοῖς τεταγμένοις. εἰ μὲν οὖν ἄλλο τις βέλτιον ὁρᾷ, ἄλλως ἐχέτω· εἰ δὲ μή, Χειρίσοφος μὲν ἡγοῖτο, ἐπειδὴ καὶ Λακεδαιμόνιός ἐστι· τῶν δὲ πλευρῶν ἑκατέρων δύο τὼ πρεσβυτάτω στρατηγὼ ἐπιμελοίσθην· ὀπισθοφυλακοῖμεν δ' ἡμεῖς οἱ νεώτατοι, ἐγὼ καὶ Τιμασίων, τὸ νῦν εἶναι. τὸ δὲ λοιπὸν πειρώμενοι ταύτης τῆς τάξεως βολευσόμεθα, ὅ τι ἂν ἀεὶ κράτιστον δοκῇ εἶναι. εἰ δέ τις ἄλλο ὁρᾷ βέλτιον, λεξάτω." ἐπεὶ δ' οὐδεὶς ἀντέλεγεν, εἶπεν· „Ὅτῳ δοκεῖ ταῦτα, ἀνατεινάτω τὴν χεῖρα." ἔδοξε ταῦτα. „Νῦν τοίνυν," ἔφη, „ἀπιόντας ποιεῖν δεῖ τὰ δεδογμένα. καὶ ὅστις τε ὑμῶν τοὺς οἰκείους ἐπιθυμεῖ ἰδεῖν, μεμνήσθω ἀνὴρ ἀγαθὸς εἶναι· οὐ γὰρ ἔστιν ἄλλως τούτου τυχεῖν· ὅστις τε ζῆν ἐπιθυμεῖ, πειράσθω νικᾶν· τῶν μὲν γὰρ νικώντων τὸ καίνειν, τῶν δὲ ἡττωμένων τὸ ἀποθνῄσκειν ἐστί· καὶ εἴ τις δὲ χρημάτων ἐπιθυμεῖ, κρατεῖν πειράσθω· τῶν γὰρ νικώντων ἐστὶ καὶ τὰ ἑαυτῶν σῴζειν καὶ τὰ τῶν ἡττωμένων λαμβάνειν."

— 1. **εἰ καί**: nastavlja se ono θαυμάζοιμεν εἰ; ako bi i oni (barbari) za nama išli. — **ἀπιοῦσιν**: kad krenemo. — **ἀσφαλέστερον**: ἐστίν. — 2. **πλαίσιον τῶν ὅπλων**: četverokut od oklopnika; laki su pješaci u četverokutu iza oklopnika, prtljaga ispunja sredinu; v. str. 2. b. 1. (ὁπλίτης). — **ποιησαμένους**: v. str. 9. b. 1. (προδόντα). — 3. **τὰ σκευοφόρα**: tovarna živina. — **ὄχλος**: prtljaga. — **ἐν ἀσφαλεστέρῳ**: u većoj sigurnosti. — 4. **τοῦ πλαισίου ἡγέομαι**: na čelu sam četverokutu t. j. u prednjem sam odjelu; v. str. 4. b. 4. (αὐτῶν) i str. 57. b. 2. — **τὰ πρόσθεν κοσμεῖν**: prednju stranu držati u redu. — 5. **πλευρόν**: bok. — **ὀπισθοφυλακέω**: u zaleđu sam t. j. u otražnjem odjelu četverokuta. — 6. **χρῴμεθα ἂν τοῖς τεταγμένοις**: imali bi vojnike uređene. — 7. **ἄλλως ἐχέτω**: v. str. 3. b. 3. (ἐνοϊκῶς). — 8. **ἡγοῖτο**: vodio! neka vodi. — **ἐπειδὴ καί**: pogotovo kad; Lakedemonjani su na glasu najbolji vojnici. — 9. **ὀπισθοφυλακοῖμεν**: zaleđe vodili mi (Ksenofont)! vodimo! Ksenofont uzima za se najteže mjesto, jer će ih ostrag na uzmaku napadati neprijatelji, a Hirisofu daje najčasnije. — 10. **τὸ νῦν εἶναι**: zasad, aps. inf. — 11. **τὸ λοιπόν**: v. str. 50. b. 10., poslije. — **πειρώμενοι τῆς τάξεως**: dok budemo kušali taj poredak, part. gen. — **ὅ τι ἄν**: v. str. 9. b. 4. (ἄν). — 14. **τὰ δεδογμένα**: odluke. — 15. **τοὺς οἰκείους**: svoje. — **εἶναι**: da bude. — 16. **ἔστιν**: ἔξεστιν. — **τούτου**: v. str. 18. b. 2. (αὐτοῦ). — 17. **τῶν νικώντων**: gen. pos., posao je pobjednika ubijati, pobjednici ubijaju. — 18. **ἐπιθυμέω**: v. str. 32. b. 11. (ὅτου). — 19. **τὰ ἑαυτῶν**: svoje. — **τὰ τῶν ἡττωμένων**: imovina pobijeđenih.

Τούτων λεχθέντων ἀνέστησαν καὶ ἀπελθόντες κατέκαον τὰς ἁμάξας καὶ τὰς σκηνάς, τῶν δὲ περιττῶν, ὅτου μὲν δέοιτό τις, μετεδίδοσαν ἀλλήλοις, τὰ δὲ ἄλλα εἰς τὸ πῦρ ἐρρίπτουν. ταῦτα ποιήσαντες ἠριστοποιοῦντο.

16. Okršaji s Mitradatom.

(III. 3., 6.—11.; 4., 1.—6.)

Dok su Heleni doručkovali dođe Mitradat i ponudi im se kao prijatelj Kirov, da će ih voditi. No Heleni opaze, da je došao, da sazna što oni kane, pa odluče, da se uopće više ne će upuštati ni u kakve pregovore.

Μετὰ ταῦτα ἀριστήσαντες καὶ διαβάντες τὸν Ζαπάταν ποταμὸν ἐπορεύοντο τεταγμένοι τὰ ὑποζύγια καὶ τὸν ὄχλον ἐν μέσῳ ἔχοντες. οὐ πολὺ δὲ προεληλυθότων αὐτῶν ἐπιφαίνεται πάλιν ὁ Μιθραδάτης, ἱππέας ἔχων ὡς διακοσίους καὶ τοξότας καὶ σφενδονήτας εἰς τετρακοσίους μάλα ἐλαφροὺς καὶ εὐζώνους. καὶ προσῄει μὲν ὡς φίλος ὢν πρὸς τοὺς Ἕλληνας· ἐπεὶ δ' ἐγγὺς ἐγένοντο, ἐξαπίνης οἱ μὲν αὐτῶν ἐτόξευον καὶ ἱππεῖς καὶ πεζοί, οἱ δ' ἐσφενδόνων καὶ ἐτίτρωσκον. οἱ δὲ ὀπισθοφύλακες τῶν Ἑλλήνων ἔπασχον μὲν κακῶς, ἀντεποίουν δ' οὐδέν· οἵ τε γὰρ Κρῆτες βραχύτερα τῶν Περσῶν ἐτόξευον καὶ ἅμα ψιλοὶ ὄντες εἴσω τῶν ὅπλων κατεκέκλειντο, οἱ δὲ ἀκοντισταὶ βραχύτερα ἠκόντιζον ἢ ὡς ἐξικνεῖσθαι τῶν σφενδονητῶν. ἐκ τούτου Ξενοφῶντι ἐδόκει διωκτέον εἶναι· καὶ

1. **τούτων λεχθέντων**: kad se to reklo, poslije tih riječi. — 2. **τῶν περιττῶν**: gen. part. zavisan o μεταδίδωμι, od zališnoga davali su jedan drugomu. — **δέοιτο**: v. str. 2. b. 10. (ἀφικνοῖτο). — 3. **ἀριστοποιέομαι**: doručkujem.

5. **ἀριστάω**: doručkujem. — **Ζαπάτας**: danas Veliki Zab (vučja rijeka), pritok Tigrisa; prešli su 25. listopada g. 401. — 6. **τὰ ὑποζύγια**: tovarna živina. — **ὄχλος**: prtljaga; v. str. 57. b. 2. — **ἔχων**: v. str. 1. b. 6. (λαβών). — 8. **ὡς**: do, neko. — **τοξότας**: v. str. 23. b. 11. — **εἰς**: do, neko. — 9. **ἐλαφρός**: brz. — **εὔζωνος**: potpasan (ne smeta ga odijelo), lak. — **ὡς ὤν**: kao da je. — 10. **ἐξαπίνης**: iznenada. — **οἱ μέν**: v. str. 3. b. 11. — 11. **σφενδονάω**: bacam praćicom. — **ὀπισθοφύλακες**: zaleđe; v. str. 57. b. 5. — 12. **πάσχω κακῶς**: grdno stradam. — **ἀντιποιέω**: uzvraćam. — 13. **βραχύτερα τῶν**: nijesu strijeljali tako daleko kao; v. str. 8. b. 11. (τὰ ἄλλα). — **ψιλός**: gol, nezaštićen; jer su bili bez zaštite t. j. bez štita i oklopa; v. str. 23. b. 11. — **εἴσω τῶν ὅπλων**: unutar oklopnika; v. str. 2. b. 1. (ὁπλίτης). — 14. **κατακλείω**: zatvoram. — **ἀκοντίζω**: bacam koplje. — **ἢ ὡς**: nego da bi, uz komparativ s ἤ dolazi ὡς, ὥστε s inf.; nijesu bacali tako daleko, da bi dohvatila. — 15. **τῶν σφενδονητῶν**: v. str. 18. b. 2. (αὐτοῦ). — **ἐκ τούτου**: zato.

ἐδίωκον τῶν ὁπλιτῶν καὶ τῶν πελταστῶν, οἳ ἔτυχον σὺν αὐτῷ ὀπισθοφυλακοῦντες· διώκοντες δὲ οὐδένα κατελάμβανον τῶν πολεμίων. οὔτε γὰρ ἱππεῖς ἦσαν τοῖς Ἕλλησιν οὔτε οἱ πεζοὶ τοὺς πεζοὺς ἐκ πολλοῦ φεύγοντας ἐδύναντο καταλαμβάνειν ἐν ὀλίγῳ χωρίῳ· πολὺ γὰρ οὐχ οἷόν τε ἦν ἀπὸ τοῦ ἄλλου στρατεύματος διώκειν· οἱ δὲ βάρβαροι ἱππεῖς καὶ φεύγοντες ἅμα ἐτίτρωσκον εἰς τοὔπισθεν τοξεύοντες ἀπὸ τῶν ἵππων, ὁπόσον δὲ διώξειαν οἱ Ἕλληνες, τοσοῦτον πάλιν ἐπαναχωρεῖν μαχομένους ἔδει. ὥστε τῆς ἡμέρας ὅλης διῆλθον οὐ πλέον πέντε καὶ εἴκοσι σταδίων, ἀλλὰ δείλης ἀφίκοντο εἰς τὰς κώμας. ἔνθα δὴ πάλιν ἀθυμία ἦν.

Na prijedlog Ksenofontov sastave od Rođana, koji su se bolje od Perzijanaca razumjeli u praćicu, četu od neko 200 praćara, a konje, koji su većinom nosili prtljagu, osedlaju i tako urede konjicu od neko 50 momaka.

Μείναντες δὲ ταύτην τὴν ἡμέραν τῇ ἄλλῃ ἐπορεύοντο πρῳαίτερον ἀναστάντες· χαράδραν γὰρ ἔδει αὐτοὺς διαβῆναι, ἐφ' ᾗ ἐφοβοῦντο, μὴ ἐπιθοῖντο αὐτοῖς διαβαίνουσιν οἱ πολέμιοι. διαβεβηκόσι δὲ αὐτοῖς πάλιν φαίνεται ὁ Μιθραδάτης, ἔχων ἱππεῖς χιλίους, τοξότας δὲ καὶ σφενδονήτας εἰς τετρακισχιλίους· τοσούτους γὰρ ᾔτησε Τισσαφέρνην, καὶ ἔλαβεν ὑποσχόμενος, ἂν τούτους λάβῃ, παραδώσειν αὐτῷ τοὺς Ἕλληνας, καταφρονήσας, ὅτι ἐν τῇ πρόσθεν προσβολῇ ὀλίγους ἔχων ἔπαθε μὲν οὐδέν, πολλὰ δὲ κακὰ ἐνόμιζε ποιῆσαι. ἐπεὶ δὲ οἱ Ἕλληνες διαβεβηκότες ἀπεῖχον τῆς χαράδρας ὅσον ὀκτὼ σταδίους, διέβαινε καὶ ὁ Μιθραδάτης ἔχων τὴν δύναμιν. παρήγγελτο δὲ τῶν πελταστῶν οὓς ἔδει διώκειν καὶ

1. **τῶν ὁπλιτῶν**: gen. part.; od oklopnika oni. — **πελταστής**: peltast; v. str. 23. b. 11. — **ἔτυχον**: v. str. 1. b. 4. — 3. **ἐκ πολλοῦ**: izdaleka. — 4. **ἐν ὀλίγῳ χωρίῳ**: na malom prostoru t. j. oni nijesu smjeli daleko od svojih, a neprijatelji su bili daleko. — **πολύ**: daleko. — **οὐχ οἷόν τε ἦν**: nije bilo moguće, nijesu smjeli. — 5. **ἀπό**: sastavi sa πολύ. — 6. **εἰς τοὔπισθεν**: εἰς τὸ ὄπισθεν, natrag. — 7. **διώξειαν**: v. str. 2. b. 10. (ἀφικνοῖτο). — **ἐπαναχωρέω**: uzmičem. — 8. **ὥστε**: v. str. 4. b. 4. — **τῆς ἡμέρας**: cio onaj dan. — 9. **σταδίων**: v. str. 26. b. 6., 25 stadija neko 3·75 km. — **δείλης**: podvečer; v. str. 22. b. 9. — **ἀθυμία**: malodušnost.

10. **ταύτην**: 26. listopada g. 401. — **τῇ ἄλλῃ**: ἡμέρα, sjutradan. — **πρῴ**: rano. — 11. **χαράδρα**: jaruga. — **ἐφ' ᾗ**: u kojoj, gdje. — **μή**: v. str. 10. b. 10. (καί). — 12. **ἐπιτίθεμαί τινι**: napadam koga. — **διαβαίνουσιν**: dat., kad budu. — 13. **φαίνομαι**: pomaljam se. — **ἔχων**: v. str. 1. b. 6. (λαβών). — 14. **αἰτέω τινά τι**: v. str. 5. b. 5. — 15. **ἄν**: ἐάν; v. str. 2. b. 8. — **καταφρονήσας**: jer se uzobijestio; καταφρονέω, prezirem. — 16. **ἐν τῇ — προσβολῇ**: kod pređašnje navale. — **ἔχων**: premda je imao. — 17. **ἀπέχω**: daleko sam. — 19. **ἔχων τὴν δύναμιν**: sa svojom vojskom. — **παρήγγελτο τῶν πελταστῶν — ὁπλιτῶν**: bijaše određeno, koji od peltasta

τῶν ὁπλιτῶν, καὶ τοῖς ἱππεῦσιν εἴρητο θαρροῦσι διώκειν ὡς ἐφεψομένης ἱκανῆς δυνάμεως. ἐπεὶ δὲ ὁ Μιθραδάτης κατειλήφει, καὶ ἤδη σφενδόναι καὶ τοξεύματα ἐξικνοῦντο, ἐσήμηνε τοῖς Ἕλλησι τῇ σάλπιγγι, καὶ εὐθὺς ἔθεον ὁμόσε, οἷς εἴρητο, καὶ οἱ ἱππεῖς ἤλαυνον· οἱ δὲ οὐκ ἐδέξαντο, ἀλλ' ἔφευγον ἐπὶ τὴν χαράδραν. ἐν ταύτῃ τῇ διώξει τοῖς βαρβάροις τῶν τε πεζῶν ἀπέθανον πολλοὶ καὶ τῶν ἱππέων ἐν τῇ χαράδρᾳ ζωοὶ ἐλήφθησαν εἰς ὀκτωκαίδεκα. τοὺς δὲ ἀποθανόντας αὐτοκέλευστοι οἱ Ἕλληνες ᾐκίσαντο, ὡς ὅτι φοβερώτατον τοῖς πολεμίοις εἴη ὁρᾶν. καὶ οἱ μὲν πολέμιοι οὕτω πράξαντες ἀπῆλθον, οἱ δὲ Ἕλληνες ἀσφαλῶς πορευόμενοι τὸ λοιπὸν τῆς ἡμέρας ἀφίκοντο ἐπὶ τὸν Τίγρητα ποταμόν.

17. Uzeće klanca.

(III. 4., 38.—49.)

Prođu ruševinama Niniveha, suzbiju Tisaferna, preurede istostrani četverokut radi mostova i klanaca u duguljat samo s tri satnije od 100 momaka na čelu i s tri u zaleđu. Na daljem putu opaze 12. studenoga neprijatelja nad klancem — bit će današnja Dergula —, kojim se silazilo u ravnicu.

Ἐπειδὴ δὲ ἑώρα Χειρίσοφος προκατειλημμένην τὴν ἀκρωνυχίαν, καλεῖ Ξενοφῶντα ἀπὸ τῆς οὐρᾶς καὶ κελεύει λαβόντα τοὺς πελταστὰς παραγενέσθαι εἰς τὸ πρόσθεν. ὁ δὲ Ξενοφῶν τοὺς μὲν πελταστὰς οὐκ ἦγεν· ἐπιφαινόμενον γὰρ ἑώρα Τισσαφέρνην καὶ τὸ στράτευμα πᾶν· αὐτὸς δὲ προσελάσας ἠρώτα· „Τί καλεῖς;“ ὁ δὲ λέγει αὐτῷ· „Ἔξεστιν ὁρᾶν· προκατείληπται γὰρ ἡμῖν ὁ ὑπὲρ τῆς καταβάσεως λόφος, καὶ οὐκ ἔστι παρελθεῖν, εἰ μὴ τούτους ἀποκόψομεν. ἀλλὰ τί οὐκ ἦγες τοὺς πελ-

i oklopnika treba da. — 1. **θαρροῦσι**: dat., prevedi: hrabro. — **ὡς**: jer će. — 2. **ἱκανός**: dovoljan. — **κατειλήφει**: αὐτούς, kad ih bješe stigao. — **σφενδόναι**: v. str. 23. b. 11. — 4. **θέω**: trčim. — **ὁμόσε**: na isto mjesto, onamo t. j. na neprijatelja. — **ἐλαύνω**: jašem. — **δέχομαι**: dočekam. — 5. **δίωξις**: progon. — 7. **αὐτοκέλευστος**: sam od sebe. — 8. **αἰκίζω**: mučim, sakatim. — **ὅτι**: v. str. 3. b. 4. (ὡς). — **φοβερός**: strašan. — 9. **οὕτω πράξαντες**: nastradavši; v. str. 30. b. 8. — 10. **τὸ λοιπὸν τῆς ἡμέρας**: ostalo dana.

11. **ἀκρωνυχία**: vis. — 12. **οὐρά**: rep, zaleđe; v. str. 57. b. 2. i str. 57. b. 5. — **λαβόντα**: v. str. 1. b. 6. — **πελταστής**: v. str. 23. b. 11. — 13. **παραγενέσθαι εἰς τό**: poći naprijed, na čelo. — 14. **ἐπιφαινόμενον**: gdje se pomalja; v. str. 3. b. 11. (βουλευομένους). — 15. **αὐτός**: Ksenofont. — **προσελαύνω**: dojašem. — 16. **ὑπέρ**: nad. — **κατάβασις**: silazak, put ȕ dô. — **λόφος**: brdo. — 17. **ἔστι**: ἔξεστι. — **ἀποκόπτω**: protjeram.

ταστάς;“ ὁ δὲ λέγει, ὅτι οὐκ ἐδόκει αὐτῷ ἔρημα καταλιπεῖν τὰ ὄπισθεν πολεμίων ἐπιφαινομένων. „Ἀλλὰ μὴν ὥρα γ',“ ἔφη, „βουλεύεσθαι, πῶς τις τοὺς ἄνδρας ἀπελᾷ ἀπὸ τοῦ λόφου.“ ἐνταῦθα Ξενοφῶν ὁρᾷ τοῦ ὄρους τὴν κορυφὴν ὑπὲρ αὐτοῦ τοῦ ἑαυτῶν στρατεύματος οὖσαν, καὶ ἀπὸ ταύτης ἔφοδον ἐπὶ τὸν λόφον, ἔνθα ἦσαν οἱ πολέμιοι, καὶ λέγει· „Κράτιστον, ὦ Χειρίσοφε, ἡμῖν ἵεσθαι ὡς τάχιστα ἐπὶ τὸ ἄκρον· ἢν γὰρ τοῦτο λάβωμεν, οὐ δυνήσονται μένειν οἱ ὑπὲρ τῆς ὁδοῦ. ἀλλά, εἰ βούλει, μένε ἐπὶ τῷ στρατεύματι, ἐγὼ δ' ἐθέλω πορεύεσθαι· εἰ δὲ χρῄζεις, πορεύου ἐπὶ τὸ ὄρος, ἐγὼ δὲ μενῶ αὐτοῦ.“ „Ἀλλὰ δίδωμί σοι,“ ἔφη ὁ Χειρίσοφος, „ὁπότερον βούλει ἑλέσθαι.“ εἰπὼν ὁ Ξενοφῶν, ὅτι νεώτερός ἐστιν, αἱρεῖται πορεύεσθαι, κελεύει δέ οἱ συμπέμψαι ἀπὸ τοῦ στόματος ἄνδρας· μακρὸν γὰρ ἦν ἀπὸ τῆς οὐρᾶς λαβεῖν. καὶ ὁ Χειρίσοφος συμπέμπει τοὺς ἀπὸ τοῦ στόματος πελταστάς, ἔλαβε δὲ τοὺς κατὰ μέσον τοῦ πλαισίου· συνέπεσθαι δ' ἐκέλευσεν αὐτῷ καὶ τοὺς τριακοσίους, οὓς αὐτὸς εἶχε τῶν ἐπιλέκτων ἐπὶ τῷ στόματι τοῦ πλαισίου.

Ἐντεῦθεν ἐπορεύοντο, ὡς ἐδύναντο τάχιστα. οἱ δ' ἐπὶ τοῦ λόφου πολέμιοι, ὡς ἐνόησαν αὐτῶν τὴν πορείαν ἐπὶ τὸ ἄκρον, εὐθὺς καὶ αὐτοὶ ὥρμησαν ἁμιλλᾶσθαι ἐπὶ τὸ ἄκρον. καὶ ἐνταῦθα πολλὴ μὲν κραυγὴ ἦν τοῦ Ἑλληνικοῦ στρατεύματος διακελευομένων τοῖς ἑαυτῶν, πολλὴ δὲ κραυγὴ τῶν ἀμφὶ Τισσαφέρνην τοῖς ἑαυτῶν διακελευομένων. Ξενοφῶν δὲ παρελαύνων ἐπὶ τοῦ ἵππου παρεκελεύετο· „Ἄνδρες, νῦν ἐπὶ τὴν Ἑλλάδα νομίζετε ἁμιλλᾶσθαι, νῦν πρὸς τοὺς παῖδας καὶ τὰς γυναῖκας, νῦν

1. **οὐκ ἐδόκει**: nije mu se mililo. — **ἔρημα — τὰ ὄπισθεν** (τὴν οὐράν): pusto, bez zaštite ostaviti zaleđe. — 2. **ὥρα**: ἐστίν, doba je. — 4. **τὴν κορυφήν**: vrhunac; na tom vrhuncu nije bilo neprijatelja. — **ὑπὲρ αὐτοῦ τοῦ**: upravo nad njihovom (helenskom). — 5. **ἔφοδος**: prilaz, put. — 6. **ἵεμαι**: hitim. — **τὸ ἄκρον**: τὴν κορυφήν. — **ἤν**: ἐάν; v. str. 2. b. 8. — 8. **ἐπί**: kod. — **χρῄζω**: želim. — 9. **αὐτοῦ**: ovdje. — 10. **εἰπών, ὅτι**: reče, da je mlađi, i odabere, da će. — 11. **αἱρέομαι**: biram. — **οἵ**: ἑαυτῷ; neka mu pošlje. — **ἀπὸ τοῦ στόματος**: s čela vojske. — 12. **μακρὸν ἦν**: daleko je bilo. — 13. **ἔλαβε**: mjesto peltasta, što ih dao Ksenofontu, uze (stavi) peltaste iz sredine četverokuta. — 15. **τῶν ἐπιλέκτων**: sastavi sa τοὺς τριακοσίους, ono trista odabranih, što ih je.

17. **ὡς**: kako, čim (lat. ut). — **νοέω**: opažam. — **αὐτῶν**: Helenâ. — 18. **ὥρμησαν ἁμιλλᾶσθαι**: potekoše kao za okladu; ἁμιλλάομαι: natječem se. — 19. **διακελευομένων τοῖς ἑαυτῶν**: jer su svoje sokolili; vojska je helenska sokolila četu, koja se s Ksenofontom penjala, a vojska opet Tisafernova barbare, koji su bili na visu i trgnuli k vrhuncu. — 21. **παρακελεύομαι**: hrabrim. — 22. **ἁμιλλάομαι ἐπί, πρός**: upinjem se za povratak u Heladu, za povratak k djeci.

ὀλίγον πονήσαντες ἀμαχεὶ τὴν λοιπὴν πορευσόμεθα.“ Σωτηρίδας δὲ ὁ Σικυώνιος εἶπεν· „Οὐκ ἐξ ἴσου, ὦ Ξενοφῶν, ἐσμέν· σὺ μὲν γὰρ ἐφ' ἵππου ὀχῇ, ἐγὼ δὲ χαλεπῶς κάμνω τὴν ἀσπίδα φέρων.“ καὶ ὃς ἀκούσας ταῦτα καταπηδήσας ἀπὸ τοῦ ἵππου ὠθεῖται αὐτὸν ἐκ τῆς τάξεως καὶ τὴν ἀσπίδα ἀφελόμενος ὡς ἐδύνατο τάχιστα ἔχων ἐπορεύετο· ἐτύγχανε δὲ καὶ θώρακα ἔχων τὸν ἱππικόν· ὥστ' ἐπιέζετο. καὶ τοῖς μὲν ἔμπροσθεν ὑπάγειν παρεκελεύετο, τοῖς δὲ ὄπισθεν παριέναι μόλις ἑπόμενος. οἱ δ' ἄλλοι στρατιῶται παίουσι καὶ βάλλουσι καὶ λοιδοροῦσι τὸν Σωτηρίδαν, ἔστε ἠνάγκασαν ἀναλαβόντα τὴν ἀσπίδα πορεύεσθαι. ὁ δὲ ἀναβάς, ἕως μὲν βατὰ ἦν, ἐπὶ τοῦ ἵππου ἦγεν, ἐπεὶ δὲ ἄβατα ἦν, καταλιπὼν τὸν ἵππον ἔσπευδε πεζῇ. καὶ φθάνουσιν ἐπὶ τῷ ἄκρῳ γενόμενοι τοὺς πολεμίους. ἔνθα δὴ οἱ μὲν βάρβαροι στραφέντες ἔφευγον, ᾗ ἕκαστος ἐδύνατο, οἱ δὲ Ἕλληνες εἶχον τὸ ἄκρον.

Heleni odluče, da će krenuti u zemlju Kardušana (Kurda), koji su neprijatelji Perzijancima.

18. Heleni prelaze u zemlju kardušku.

(IV. 1., 5.—11.)

Ἡνίκα δ' ἦν ἀμφὶ τὴν τελευταίαν φυλακὴν καὶ ἐλείπετο τῆς νυκτός, ὅσον σκοταίους διελθεῖν τὸ πεδίον, τηνικαῦτα ἀναστάντες ἀπὸ παραγγέλ-

1. **ἀμαχεί**: bez boja. — **τὴν λοιπήν**: ὁδόν. — 2. **Σικυώνιος**: Sikionjanin, iz grada Sikiona u Peloponesu. — **ἐξ ἴσου ἐσμέν**: nije nam jednako. — 3. **ὀχέομαι**: vozim se, jašem. — **χαλεπῶς κάμνω**: teško se patim. — **καὶ ὅς**: i taj, i on. — 4. **καταπηδάω**: skačem sa. — **ὠθέομαι ἐκ**: turam iz. — 5. **ὡς ἐδύνατο τάχιστα**: sastavi s ἐπορεύετο. — **ἔχων**: dopuni τὴν ἀσπίδα; v. str. 1. b. 6. (λαβών). — 6. **ἱππικόν**: konjanički je oklop bio teži od pješačkoga. — **ὥστ'**: v. str. 4. b. 4. — **πιέζω**: pritištem. — **τοῖς ἔμπροσθεν**: onima sprijed. — 7. **ὑπάγω**: polagano idem. — **παρακελεύομαι** dovikujem. — **παριέναι**: da idu (brže) naprijed (mimo njega), a sam je jedva. — 8. **παίω**: tučem. — **βάλλω**: guram. — **λοιδορέω**: psujem. — 9. **ἔστε**: dok. — **ὁ δέ**: Ksenofont. — **ἕως βατὰ ἦν**: dok se dalo ići. — 10. **ἄγω**: idem, jašem. — 11. **σπεύδω**: žurim se. — **πεζῇ**: pješke. — **φθάνουσιν — γενόμενοι τούς**: dođu prije neprijatelja na; v. str. 11. b. 15. — 12. **ᾗ ἕκαστος**: kud koji.

14. **ἡνίκα**: kad. — **ἀμφὶ τὴν τελευταίαν φυλακήν**: oko posljednje straže, 14. studenoga g. 401.; noć se dijeli na tri straže. — **τῆς νυκτός**: od noći. — 15. **ὅσον**: τοσοῦτον, ὥστε; inf. ili ak. s inf. uz ὥστε pokazuje pomišljenu posljedicu. — **σκοταίους διελθεῖν**: da mogu u mraku proći; v. str. 5. b. 2. (ἑκών). — **τηνικαῦτα**: tada. — **ἀναστάντες — πορευόμενοι**:

σεως πορευόμενοι ἀφικνοῦνται ἅμα τῇ ἡμέρᾳ πρὸς τὸ ὄρος. ἔνθα δὴ Χειρίσοφος μὲν ἡγεῖτο τοῦ στρατεύματος λαβὼν τὸ ἀμφ' αὑτὸν καὶ τοὺς γυμνῆτας πάντας, Ξενοφῶν δὲ σὺν τοῖς ὀπισθοφύλαξιν ὁπλίταις εἵπετο οὐδένα ἔχων γυμνῆτα· οὐδεὶς γὰρ κίνδυνος ἐδόκει εἶναι, μή τις ἄνω πορευομένων ἐκ τοῦ ὄπισθεν ἐπίσποιτο. καὶ ἐπὶ μὲν τὸ ἄκρον ἀναβαίνει Χειρίσοφος, πρίν τινας αἰσθέσθαι τῶν πολεμίων· ἔπειτα δ' ὑφηγεῖτο· ἐφείπετο δὲ ἀεὶ τὸ ὑπερβάλλον τοῦ στρατεύματος εἰς τὰς κώμας τὰς ἐν τοῖς ἄγκεσί τε καὶ μυχοῖς τῶν ὀρέων. ἔνθα δὴ οἱ μὲν Καρδοῦχοι ἐκλιπόντες τὰς οἰκίας ἔχοντες καὶ γυναῖκας καὶ παῖδας ἔφευγον ἐπὶ τὰ ὄρη. τὰ δὲ ἐπιτήδεια πολλὰ ἦν λαμβάνειν, ἦσαν δὲ καὶ χαλκώμασι παμπόλλοις κατεσκευασμέναι αἱ οἰκίαι, ὧν οὐδὲν ἔφερον οἱ Ἕλληνες, οὐδὲ τοὺς ἀνθρώπους ἐδίωκον, ὑποφειδόμενοι, εἴ πως ἐθελήσειαν οἱ Καρδοῦχοι διιέναι αὐτοὺς ὡς διὰ φιλίας τῆς χώρας, ἐπείπερ βασιλεῖ πολέμιοι ἦσαν· τὰ μέντοι ἐπιτήδεια, ὅτῳ τις ἐπιτυγχάνοι, ἐλάμβανεν· ἀνάγκη γὰρ ἦν. οἱ δὲ Καρδοῦχοι οὔτε καλούντων ὑπήκουον οὔτε ἄλλο φιλικὸν οὐδὲν ἐποίουν. ἐπεὶ δὲ οἱ τελευταῖοι τῶν Ἑλλήνων κατέβαινον εἰς τὰς κώμας ἀπὸ τοῦ ἄκρου ἤδη σκοταῖοι — διὰ γὰρ τὸ στενὴν εἶναι τὴν ὁδὸν ὅλην τὴν ἡμέραν ἡ ἀνάβασις αὐτοῖς ἐγένετο καὶ κατάβασις —, τότε δὴ συλλεγέντες τινὲς τῶν Καρδούχων τοῖς τελευταίοις ἐπετίθεντο, καὶ ἀπέκτεινάν τινας καὶ λίθοις καὶ τοξεύμασι κατέτρωσαν, ὀλίγοι ὄντες· ἐξ ἀπροσδοκήτου γὰρ αὐτοῖς

dignu se i stupajući. — 1. **ἅμα τῇ ἡμέρᾳ**: zorom. — 2. **ἡγέομαι**: v. str. 53. b. 12. — **λαβών**: v. str. 1. b. 6. — **τὸ ἀμφ' αὑτόν**: momčad svoju. — 3. **γυμνής**: lak pješak; v. str. 23. b. 11. — **οἱ ὀπισθοφύλακες ὁπλῖται**: oklopnici zaleđa; v. str. 58. b. 11., str. 57. b. 5. i str. 2. b. 1. — 4. **οὐδένα ἔχων**: bez ijednoga. — **μή**: v. str. 10. b. 10. (καί). — **ἄνω πορεύομαι**: penjem se. — 5. **ἐκ τοῦ ὄπισθεν**: ostrag; misli Perzijance, koji ih nijesu više progonili. — **τὸ ἄκρον**: vrhunac. — 6. **πρίν τινας**: prije nego je tko od; v. str. 14. b. 9. — **ὑφηγέομαι**: polagano odmičem. — 7. **ἀεὶ τὸ ὑπερβάλλον τοῦ**: svaki put bi ono vojske, što bi prešlo goru, došlo za njim u. — **τὰς ἐν**: ona u. — 8. **ἄγκος**: uvala, draga. — **μυχός**: gudura. — 9. **τὰς οἰκίας**: svoje. — **ἔχοντες**: v. str. 1. b. 6. (λαβών). — 10. **ἐπιτήδεια**: v. str. 10. b. 15. — **ἦν**: ἐξῆν. — **χάλκωμα**: bakrač, mjedena posuda. — **πάμπολυς**: veoma mnogi. — 11. **κατεσκευασμένος**: opremljen. — **φέρω**: nosim (sa sobom), otimam. — 12. **ὑποφείδομαι**: uneke štedim. — **εἴ πως**: ne bi li kako. — 13. **διίημι διά**: puštam kroz. — **διὰ φιλίας τῆς**: v. str. 11. b. 13. — **ἐπείπερ**: jer. — 14. **ὅτῳ**: ᾧτινι, na što. — **ἐπιτυγχάνω**: namjerim se; v. str. 2. b. 10. (ἀφικνοῖτο). — 15. **καλούντων ὑπήκουον**: nijesu slušali (odazivali se) na poziv (Helenâ). — 17. **διὰ τὸ στενὴν εἶναι τὴν ὁδόν**: jer je bio put uzak. — **ὅλην τὴν — ἐγένετο**: cio dan je potrajao uzlazak i silazak. — 19. **ἐπιτίθεμαί τινι**: navaljujem na. — 20. **ὄντες**: premda je bilo. — **ἐξ ἀπροσδοκήτου**: iznenada. — **αὐτοῖς ἐπέπεσε**: banu na njih; inače bi se više neprijatelja skupilo, a Heleni bi

ἐπέπεσε τὸ Ἑλληνικόν. εἰ μέντοι τότε πλείους συνελέγησαν, ἐκινδύνευσεν ἂν διαφθαρῆναι πολὺ τοῦ στρατεύματος. καὶ ταύτην μὲν τὴν νύκτα οὕτως ἐν ταῖς κώμαις ηὐλίσθησαν· οἱ δὲ Καρδοῦχοι πυρὰ πολλὰ ἔκαιον κύκλῳ ἐπὶ τῶν ὀρέων καὶ συνεώρων ἀλλήλους.

19. Put do rijeke Kentrita.

(IV. 1., 12.—26.; 2., 1.—24.)

Ἅμα δὲ τῇ ἡμέρᾳ συνελθοῦσι τοῖς στρατηγοῖς καὶ λοχαγοῖς τῶν Ἑλλήνων ἔδοξε τῶν τε ὑποζυγίων τὰ ἀναγκαῖα καὶ δυνατώτατα ἔχοντας πορεύεσθαι, καταλιπόντας τἆλλα, καὶ ὅσα ἦν νεωστὶ αἰχμάλωτα ἀνδράποδα ἐν τῇ στρατιᾷ, πάντα ἀφεῖναι. σχολαίαν γὰρ ἐποίουν τὴν πορείαν πολλὰ ὄντα τὰ ὑποζύγια καὶ τὰ αἰχμάλωτα, πολλοὶ δὲ οἱ ἐπὶ τούτοις ὄντες ἀπόμαχοι ἦσαν, διπλάσιά τε ἐπιτήδεια ἔδει πορίζεσθαι καὶ φέρεσθαι πολλῶν τῶν ἀνθρώπων ὄντων. δόξαν δὲ ταῦτα ἐκήρυξαν οὕτω ποιεῖν.

Ἐπεὶ δὲ ἀριστήσαντες ἐπορεύοντο, ὑποστήσαντες ἐν τῷ στενῷ οἱ στρατηγοί, εἴ τι εὑρίσκοιεν τῶν εἰρημένων μὴ ἀφειμένον, ἀφῃροῦντο, οἱ δ' ἐπείθοντο, πλὴν εἴ τίς τι ἔκλεψεν. καὶ ταύτην μὲν τὴν ἡμέραν οὕτως ἐπορεύθησαν, τὰ μέν τι μαχόμενοι, τὰ δὲ καὶ ἀναπαυόμενοι. εἰς δὲ τὴν

stradali, kad im je ona šaka ljudi zadala jada. — 1. **τὸ Ἑλληνικόν** vojska helenska. — **μέντοι**: pak. — **συνελέγησαν**: v. str. 54. b. 9. (ἄν). — **ἐκινδύνευσεν ἂν διαφθαρῆναι**: velik bi dio vojske došao u opasnost, da izgine. — 3. **αὐλίζομαι**: noćivam. — **πυρά**: vatre. — 4. **συνοράω τινά**: zajedno gledam s kim, dajem znak komu.

5. **ἅμα τῇ ἡμέρᾳ**: zorom. — **συνελθοῦσι τοῖς**: sastadoše se i odlučiše; 15. studenoga g. 401. — **λοχαγός**: v. str. 3. b. 7. — 6. **τῶν ὑποζυγίων — ἔχοντας**: samo s potrebnom i najjačom tovarnom živinom; v. str. 9. b. 1. (προδόντα). — 7. **νεωστί**: nedavno. — **αἰχμάλωτος**: zarobljen. — **ἀνδράποδον**: rob. — 8. **σχολαῖος**: spor. — 9. **οἱ ἐπὶ τούτοις ὄντες**: koji su kod toga (stoke i roblja) bili; koji su na to pazili. — 10. **ἀπόμαχός εἰμι**: nijesam za boj. — **διπλάσιος**: jedamput tolik. — **πορίζομαι**: dobavljam. — **φέρομαι**: nosim sa sobom. — 11. **πολλῶν ὄντων**: jer je bilo. — **δόξαν**: ak. aps.; v. str. 45. b. 19.; kad to odlučiše. — **κηρύττω**: oglašujem. — **οὕτω ποιεῖν**: neka tako čine (vojnici).

13. **ἀριστάω**: doručkujem. — **ὑποστήσαντες**: dopuni τινάς, neke ustavivši. — **τὸ στενόν**: klanac. — 14. **εὑρίσκοιεν**: v. str. 2. b. 10. (ἀφικνοῖτο). — **τῶν εἰρημένων**: τούτων, ἃ εἴρητο ἀφιέναι. — **ἀφειμένον**: v. str. 3. b. 11. (βουλευομένους). — **οἱ δ'**: a oni. — 15. **πλὴν εἰ**: već ako. — **ἔκλεψεν**: krišom (kradom) ponese. — 16. **τὰ μὲν — τὰ δέ**: sad — sad. — **ἀναπαύομαι**: počivam.

ὑστεραίαν γίγνεται χειμὼν πολύς, ἀναγκαῖον δ' ἦν πορεύεσθαι· οὐ γὰρ ἦν ἱκανὰ τἀπιτήδεια. καὶ ἡγεῖτο μὲν Χειρίσοφος, ὠπισθοφυλάκει δὲ Ξενοφῶν. καὶ οἱ πολέμιοι ἰσχυρῶς ἐπετίθεντο, καὶ στενῶν ὄντων τῶν χωρίων ἐγγὺς προσιόντες ἐτόξευον καὶ ἐσφενδόνων· ὥστε ἠναγκάζοντο οἱ Ἕλληνες ἐπιδιώκοντες καὶ πάλιν ἀναχάζοντες σχολῇ πορεύεσθαι· καὶ θαμινὰ παρήγγελλεν ὁ Ξενοφῶν ὑπομένειν, ὅτε οἱ πολέμιοι ἰσχυρῶς ἐπικέοιντο. ἐνταῦθα ὁ Χειρίσοφος ἄλλοτε μέν, ὅτε παρεγγυῷτο, ὑπέμενε, τότε δὲ οὐχ ὑπέμενεν, ἀλλ' ἦγε ταχέως καὶ παρηγγύα ἕπεσθαι, ὥστε δῆλον ἦν, ὅτι πρᾶγμά τι εἴη· σχολὴ δ' οὐκ ἦν ἰδεῖν παρελθόντι τὸ αἴτιον τῆς σπουδῆς· ὥστε ἡ πορεία ὁμοία φυγῇ ἐγίγνετο τοῖς ὀπισθοφύλαξι. καὶ ἐνταῦθα ἀποθνήσκει ἀνὴρ ἀγαθὸς Λακωνικὸς Λεώνυμος τοξευθεὶς διὰ τῆς ἀσπίδος καὶ τῆς σπολάδος εἰς τὰς πλευράς, καὶ Βασίας Ἀρκὰς διαμπερὲς τὴν κεφαλήν.

Ἐπεὶ δὲ ἀφίκοντο ἐπὶ σταθμόν, εὐθύς, ὥσπερ εἶχεν, ὁ Ξενοφῶν ἐλθὼν πρὸς τὸν Χειρίσοφον ᾐτιᾶτο αὐτόν, ὅτι οὐχ ὑπέμενεν, ἀλλ' ἠναγκάζοντο φεύγοντες ἅμα μάχεσθαι. „καὶ νῦν δύο καλώ τε καὶ ἀγαθὼ ἄνδρε τέθνατον καὶ οὔτε ἀνελέσθαι οὔτε θάψαι ἐδυνάμεθα.“ ἀποκρίνεται ὁ Χειρίσοφος· „Βλέψον,“ ἔφη, „πρὸς τὰ ὄρη καὶ ἰδέ, ὡς ἄβατα πάντα ἐστί· μία δ' αὕτη ὁδός, ἣν ὁρᾷς, ὀρθία, καὶ ἐπὶ ταύτῃ ἀνθρώπων ὁρᾶν ἔξεστί σοι ὄχλον τοσοῦτον, οἳ κατειληφότες φυλάττουσι τὴν ἔκβασιν. ταῦτ' ἐγὼ ἔσπευδον καὶ διὰ τοῦτό σε οὐχ ὑπέμενον, εἴ πως δυναίμην

1. **τὴν ὑστεραίαν**: ἡμέραν, sjutradan, 16. studenoga g. 401. — **πολύς**: silan. — 2. **ἱκανός**: dovoljan. — **ἡγέομαι**: idem na čelu (četverokuta; v. str. 57. b. 4.). — **ὀπισθοφυλακέω**: vodim zaleđe. — 3. **στενῶν ὄντων τῶν χωρίων**: jer je ono bio klanac. — 4. **σφενδονάω**: bacam praćicom. — **ὥστε**: v. str. 4. b. 4. — 5. **ἀναχάζω**: uzmičem. — **σχολῇ**: sporo. — 6. **θαμινά**: često. — **ὑπομένειν**: neka stanu. — **ἐπίκειμαι**: navaljujem; v. str. 2. b. 10. — 7. **ἄλλοτε**: drugda. — **παρεγγυάω**: poručujem; v. str. 2. b. 10. — 8. **ἄγω**: vodim, idem. — **ἕπεσθαι**: neka idu za njim. — 9. **πρᾶγμα**: neprilika. — **εἴη**: v. str. 2. b. 4. (ὡς). — **σχολὴ — παρελθόντι**: nije (Ksenofont) imao kad poći i vidjeti. — **τὸ αἴτιον**: uzrok. — 10. **σπουδή**: žurba. — **ἐγίγνετο**: bila je. — **ὀπισθοφύλακες**: v. str. 58. b. 11. — 12. **σπολάς**: kožan pojas. — 13. **διαμπερές**: skroz; sastavi s τοξευθείς, prostrijeljen. — **τὴν κεφαλήν**: ak. obzira, prostrijeljene glave.

14. **σταθμός**: v. str. 6. b. 1. — **ὥσπερ εἶχεν**: kaki bijaše; v. str. 3. b. 3. (ἐνοϊκῶς). — 17. **ἀναιρέομαι**: uzimam sa sobom. — 18. **ὡς**: kako. — 19. **αὕτη**: subj.; to, što vidiš, jest jedini; v. str. 4. b. 1. — **ὀρθία**: i to strm; njim se išlo iz jaruge na izlaz iz klanca. — 20. **ὄχλος**: mnoštvo. — **οἵ**: udešeno po smislu (lat. multitudo venerunt). — 21. **διά**: v str. 11. b. 13. — **εἴ πως**: ne bi li kako; v. str. 11. b. 7. (εἴη).

φθάσαι, πρὶν κατειλῆφθαι τὴν ὑπερβολήν· οἱ δ' ἡγεμόνες, οὓς ἔχομεν, οὔ φασιν εἶναι ἄλλην ὁδόν." ὁ δὲ Ξενοφῶν λέγει· „Ἀλλ' ἐγὼ ἔχω δύο ἄνδρας. ἐπεὶ γὰρ ἡμῖν πράγματα παρεῖχον, ἐνηδρεύσαμεν, ὅπερ καὶ ἡμᾶς ἀναπνεῦσαι ἐποίησε. καὶ ἀπεκτείναμέν τινας αὐτῶν, καὶ ζῶντας προὐθυμήθημεν λαβεῖν αὐτοῦ τούτου ἕνεκα, ὅπως ἡγεμόσιν εἰδόσι τὴν χώραν χρησαίμεθα."

Καὶ εὐθὺς ἀγαγόντες τοὺς ἀνθρώπους ἤλεγχον διαλαβόντες, εἴ τινα εἰδεῖεν ἄλλην ὁδὸν ἢ τὴν φανεράν. ὁ μὲν οὖν ἕτερος οὐκ ἔφη, μάλα πολλῶν φόβων προσαγομένων· ἐπεὶ δὲ οὐδὲν ὠφέλιμον ἔλεγεν, ὁρῶντος τοῦ ἑτέρου κατεσφάγη. ὁ δὲ λοιπὸς ἔλεξεν, ὅτι οὗτος μὲν οὐ φαίη διὰ ταῦτα εἰδέναι, ὅτι αὐτῷ ἐτύγχανε θυγάτηρ ἐκεῖ παρ' ἀνδρὶ ἐκδεδομένη· αὐτὸς δ' ἔφη ἡγήσεσθαι δυνατὴν καὶ ὑποζυγίοις πορεύεσθαι ὁδόν. ἐρωτώμενος δ', εἰ εἴη τι ἐν αὐτῇ δυσπάριτον χωρίον, ἔφη εἶναι ἄκρον, ὃ εἰ μή τις προκαταλήψοιτο, ἀδύνατον ἔσεσθαι παρελθεῖν.

Zapitaju satnike, tko će sam drage volje na onaj vrhunac. Jave se Arkađani Aristonim, Agasija i Kalimah pa Hijanin Aristeja.

Καὶ ἦν μὲν δείλη, οἱ δ' ἐκέλευον αὐτοὺς ἐμφαγόντας πορεύεσθαι. καὶ τὸν ἡγεμόνα δήσαντες παραδιδόασιν αὐτοῖς, καὶ συντίθενται τὴν μὲν νύκτα, ἢν λάβωσι τὸ ἄκρον, τὸ χωρίον φυλάττειν, ἅμα δὲ τῇ ἡμέρᾳ τῇ σάλπιγγι σημαίνειν· καὶ τοὺς μὲν ἄνω ὄντας ἰέναι ἐπὶ τοὺς κατέχοντας

1. **φθάνω**: pretječem. — **πρίν**: v. str. 14. b. 9. — **ὑπερβολή**: prijelaz; neprijatelji su se nad jarugom smjestili. — **ἡγεμών**: vodič. — 3. **πράγματα παρεῖχον**: subj. Kardušani; kad su jade zadavali. — **ἐνεδρεύω**: vrebam, stajem u zasjedu. — **ὅπερ**: a to. — 4. **ἀναπνέω**: odahnem; to nam dade odmora. — **προθυμέομαι**: hoću. — 5. **αὐτοῦ τούτου ἕνεκα**: baš zato.

7. **ἐλέγχω**: ispitujem. — **διαλαβόντες**: uzevši svakoga za se; obaška. — **εἰ**: da li. — 8. **εἰδεῖεν**: v. str. 11. b. 7. (εἴη). — **τὴν φανεράν**: onaj na vidiku. — 9. **προσαγομένων**: premda su ga strašili koječim. — **ὁρῶντος τοῦ**: na očigled drugomu. — 10. **κατασφάττω**: ubijam. — **οὐ φαίη**: rekao je, da ne zna; v. str. 2. b. 4. (ὡς). — 11. **ὅτι**: jer. — **ἐτύγχανε**: v. str. 1. b. 4. — **ἐκδεδομένη**: udata. — 12. **δυνατήν**: putem, kojim može i tovarna živina. — 13. **εἰ**: da li. — **δυσπάριτος**: teško prohodan. — 14. **προκαταλαμβάνω**: zauzimam prije; v. str. 30. b. 11. (νικῴη).

15. **δείλη**: 16. studenoga g. 401.; v. str. 22. b. 9. — **οἱ δ'**: Hirisof i Ksenofont. — **ἐμφαγεῖν**: brzo založiti. — 16. **δέω**: vežem. — **συντίθενται**: dogovore se (s onim satnicima, koji su rekli, da će ići na vrhunac); o συντίθενται je zavisno φυλάττειν (neka), ἰέναι (neka), σημαίνειν (neka dadu znak), συμβοηθεῖν (da će pomoći). — **τὴν νύκτα**: onu noć. — 17. **ἤν**: ἐάν; v. str. 2. b. 8. — 18. **τοὺς ἄνω ὄντας**: oni gore. — **κατέχω**: držim, okupio sam.

τὴν φανερὰν ἔκβασιν, αὐτοὶ δὲ συμβοηθήσειν ἐκβαίνοντες, ὡς ἂν δύνωνται τάχιστα. ταῦτα συνθέμενοι οἱ μὲν ἐπορεύοντο πλῆθος ὡς δισχίλιοι· καὶ ὕδωρ πολὺ ἦν ἐξ οὐρανοῦ· Ξενοφῶν δὲ ἔχων τοὺς ὀπισθοφύλακας ἡγεῖτο πρὸς τὴν φανερὰν ἔκβασιν, ὅπως ταύτῃ τῇ ὁδῷ οἱ πολέμιοι προσέχοιεν τὸν νοῦν καὶ ὡς μάλιστα λάθοιεν οἱ περιιόντες. ἐπεὶ δὲ ἦσαν ἐπὶ χαράδρᾳ οἱ ὀπισθοφύλακες, ἣν ἔδει διαβάντας πρὸς τὸ ὄρθιον ἐκβαίνειν, τηνικαῦτα ἐκυλίνδουν οἱ βάρβαροι ὁλοιτρόχους ἁμαξιαίους καὶ μείζους καὶ ἐλάττους, οἳ φερόμενοι πρὸς τὰς πέτρας παίοντες διεσφενδονῶντο· καὶ παντάπασιν οὐδὲ πελάσαι οἷόν τ' ἦν τῇ εἰσόδῳ. ἔνιοι δὲ τῶν λοχαγῶν, εἰ μὴ ταύτῃ δύναιντο, ἄλλῃ ἐπειρῶντο· καὶ ταῦτα ἐποίουν, μέχρι σκότος ἐγένετο· ἐπεὶ δὲ ᾤοντο ἀφανεῖς εἶναι ἀπιόντες, τότε ἀπῆλθον ἐπὶ τὸ δεῖπνον· ἐτύγχανον δὲ καὶ ἀνάριστοι ὄντες. οἱ μέντοι πολέμιοι οὐδὲν ἐπαύσαντο δι' ὅλης τῆς νυκτὸς κυλινδοῦντες τοὺς λίθους· τεκμαίρεσθαι δ' ἦν τῷ ψόφῳ.

Οἱ δ' ἔχοντες τὸν ἡγεμόνα κύκλῳ περιιόντες καταλαμβάνουσι τοὺς φύλακας ἀμφὶ πῦρ καθημένους· καὶ τοὺς μὲν κατακανόντες, τοὺς δὲ καταδιώξαντες αὐτοὶ ἐνταῦθ' ἔμενον, ὡς τὸ ἄκρον κατέχοντες. οἱ δ' οὐ κατεῖχον, ἀλλὰ μαστὸς ἦν ὑπὲρ αὐτῶν, παρ' ὃν ἦν ἡ στενὴ αὕτη ὁδός,

1. **τὴν φανερὰν ἔκβασιν**: izlaz na vidiku; njim se dolazilo na vispoljanu s onu stranu jaruge (χαράδρα), a drugi je put vodio iza brda na istu vispoljanu; neprijatelji su stali s onu stranu jaruge nad izlazom. — 2. **οἱ μέν**: dobrovoljci. — **πλῆθος**: ak. obzira, na broj. — **ὡς**: do, neko. — 3. **ὕδωρ**: kiša. — 4. **ὅπως**: eda bi. — 5. **προσέχω τὸν νοῦν τινι**: svraćam pozornost na. — **λανθάνω**: neopažen sam. — 6. **ἐπί**: na, pred. — **ἥν**: kojom. — **πρὸς τὸ ὄρθιον**: na strmen t. j. na strmi put (ὀρθία ὁδός). — 7. **κυλινδέω**: vâljâm. — **ὁλοίτροχος ἁμαξιαῖος**: kamen, koji se samo kolima može otpremiti; čitava hrid. — 8. **φερόμενοι παίοντες**: kotrljajući se udarahu o. — **διασφενδονάομαι**: razbijam se, rasprskavam se. — 9. **παντάπασιν**: uopće. — **πελάζω**: približavam se. — **οἷόν τ' ἦν**: moglo se. — **εἴσοδος**: ulaz (jaruga). — **ἔνιοι**: neki. — 10. **ταύτῃ**: tuda. — **δύναιντο**: v. str. 2. b. 10. (ἀφικνοῖτο). — **ἄλλῃ**: druguda. — 11. **μέχρι**: dok. — **σκότος**: mrak. — **ἀφανεῖς εἶναι ἀπιόντες**: da mogu krišom otići; v. str. 30. b. 9. — 12. **δεῖπνον**: ručak; ruča se obično oko 4 sata. — **ἐτύγχανον**: v. str. 1. b. 4. — **ἀνάριστος**: bez doručka, natašte. — **μέντοι**: pak. — 13. **κυλινδοῦντες**: nijesu prestali valjati; v. str. 47. b. 1. — 14. **τεκμαίρομαί τινι**: sudim po. — **ἦν**: ἐξῆν. — **ψόφος**: lomljava.

15. **οἱ δ'**: dobrovoljci. — **καταλαμβάνω**: zatečem. — 16. **καθημένους**: gdje sjede; v. str. 3. b. 11. (βουλευομένους). — **τοὺς μέν**: v. str. 3. b. 11. — 17. **ὡς κατέχοντες**: kao da su zauzeli onaj vrh (za koji im je Kardušanin govorio). — 18. **μαστός**: glavica. — **παρ' ὅν**: do koje. — **στενὴ ὁδός**: taj uski put je vodio na vispoljanu, a bio je zgodan i za

*

ἐφ' ᾗ ἐκάθηντο οἱ φύλακες. ἔφοδος μέντοι αὐτόθεν ἐπὶ τοὺς πολεμίους ἦν, οἳ ἐπὶ τῇ φανερᾷ ὁδῷ ἐκάθηντο. καὶ τὴν μὲν νύκτα ἐνταῦθα διήγαγον· ἐπεὶ δ' ἡμέρα ὑπέφαινεν, ἐπορεύοντο σιγῇ συντεταγμένοι ἐπὶ τοὺς πολεμίους· καὶ γὰρ ὁμίχλη ἐγένετο, ὥστ' ἔλαθον ἐγγὺς προσελθόντες. ἐπεὶ δὲ εἶδον ἀλλήλους, ἥ τε σάλπιγξ ἐφθέγξατο καὶ ἀλαλάξαντες ἵεντο ἐπὶ τοὺς ἀνθρώπους· οἱ δὲ οὐκ ἐδέξαντο, ἀλλὰ λιπόντες τὴν ὁδὸν φεύγοντες ὀλίγοι ἀπέθνῃσκον· εὔζωνοι γὰρ ἦσαν. οἱ δὲ ἀμφὶ Χειρίσοφον ἀκούσαντες τῆς σάλπιγγος εὐθὺς ἵεντο ἄνω κατὰ τὴν φανερὰν ὁδόν· ἄλλοι δὲ τῶν στρατηγῶν κατὰ ἀτριβεῖς ὁδοὺς ἐπορεύοντο, ᾗ ἔτυχον ἕκαστοι ὄντες, καὶ ἀναβάντες, ὡς ἐδύναντο, ἀνίμων ἀλλήλους τοῖς δόρασι. καὶ οὗτοι πρῶτοι συνέμειξαν τοῖς προκαταλαβοῦσι τὸ χωρίον.

Ξενοφῶν δὲ ἔχων τῶν ὀπισθοφυλάκων τοὺς ἡμίσεις ἐπορεύετο, ᾗπερ οἱ τὸν ἡγεμόνα ἔχοντες· εὐοδωτάτη γὰρ ἦν τοῖς ὑποζυγίοις· τοὺς δὲ ἡμίσεις ὄπισθεν τῶν ὑποζυγίων ἔταξε. πορευόμενοι δ' ἐντυγχάνουσι λόφῳ ὑπὲρ τῆς ὁδοῦ κατειλημμένῳ ὑπὸ τῶν πολεμίων, οὓς ἢ ἀποκόψαι ἦν ἀνάγκη ἢ διεζεῦχθαι ἀπὸ τῶν ἄλλων Ἑλλήνων. καὶ αὐτοὶ μὲν ἂν ἐπορεύθησαν, ᾗπερ οἱ ἄλλοι, τὰ δὲ ὑποζύγια οὐκ ἦν ἄλλῃ ἢ ταύτῃ ἐκβῆναι. ἔνθα δὴ παρακελευσάμενοι ἀλλήλοις προσβάλλουσι πρὸς τὸν λό-

živinu. — 1. **ἔφοδος**: prilaz, staza; s onoga pomenutog uskog puta i to odande (αὐτόθεν), gdje su dobrovoljci zatekli stražu oko vatre, moglo se također skrenuti nizbrdo i doći za leđa onim neprijateljima, koji su glavni prolaz (jarugu i izlaz) čuvali i valjali kamenje. — 2. **διάγω**: provodim. — 3. **ἡμέρα ὑπέφαινεν**: svitao je dan, 17. studenoga g. 401. — **σιγῇ**: muče. — 4. **ὁμίχλη**: magla. — **ἔλαθον**: v. str. 5. b. 2. (τρεφόμενον). — 5. **ἀλαλάζω**: v. str. 6. b. 5. — **ἵεμαι**: srćem na. — 7. **εὔζωνος**: v. str. 58. b. 9. — **οἱ ἀμφί**: momčad Hirisofova, glavna vojska. — 8. **τῆς σάλπιγγος**: v. str. 25. b. 7. (Κόρου). — 9. **ἀτριβής**: neutrt. — **ᾗ**: gdje. — **ἔτυχον**: v. str. 1. b. 4. — 10. **ἀνιμάω**: vučem uvis. — 11. **συμμείγνυμί τινι**: sjedinjujem se s kim. — **τὸ χωρίον**: mjesto, gdje su neprijatelji čuvali prolaz.

12. **οἱ ἡμίσεις**: polovica. — 13. **ᾗπερ**: kudano. — **οἱ — ἔχοντες**: oni s vodičem t. j. dobrovoljci, koji su neprijatelja s prolaza otjerali. — **εὐοδωτάτη** (εὔοδος, prohodan): ὁδός; kad je Ksenofont udario putem, kojim su bili pošli dobrovoljci, već je neprijatelj zapremio redom glavice, što su se nad putem dizale. — 15. **λόφος**: brežuljak. — **ἀποκόπτω**: otjeram. — 16. **διαζεύγνυμι**: rastavljam. — **Ἑλλήνων**: od Helena, koji su bili s Hirisofom. — **ἂν ἐπορεύθησαν**: pošli bi; v. str. 54. b. 9. — 17. **τὰ δὲ — οὐκ ἦν — ἐκβῆναι**: ali prtljaga nije mogla izići. — **ἄλλῃ**: drugud. — **ταύτῃ**: tuda. — 18. **παρακελεύομαί τινι**: sokolim koga. — **προσβάλλω**: navaljujem.

φον ὀρθίοις τοῖς λόχοις, οὐ κύκλῳ, ἀλλὰ καταλιπόντες ἄφοδον τοῖς πολεμίοις, εἰ βούλοιντο φεύγειν. καὶ τέως μὲν αὐτοὺς ἀναβαίνοντας, ὅπῃ ἐδύναντο ἕκαστος, οἱ βάρβαροι ἐτόξευον καὶ ἔβαλλον, ἐγγὺς δ' οὐ προσίεντο, ἀλλὰ φυγῇ λείπουσι τὸ χωρίον. καὶ τοῦτόν τε παρεληλύθεσαν οἱ Ἕλληνες καὶ ἕτερον ὁρῶσιν ἔμπροσθεν λόφον κατεχόμενον ἐπὶ τοῦτον αὖθις ἐδόκει πορεύεσθαι.

Ἐννοήσας δ' ὁ Ξενοφῶν, μή, εἰ ἔρημον καταλίποι τὸν ἑαλωκότα λόφον, πάλιν λαβόντες οἱ πολέμιοι ἐπιθοῖντο τοῖς ὑποζυγίοις παριοῦσιν — ἐπὶ πολὺ δ' ἦν τὰ ὑποζύγια, ἅτε διὰ στενῆς τῆς ὁδοῦ πορευόμενα —, καταλείπει ἐπὶ τοῦ λόφου λοχαγοὺς Κηφισόδωρον Κηφισοφῶντος Ἀθηναῖον καὶ Ἀμφικράτην Ἀμφιδήμου Ἀθηναῖον καὶ Ἀρχαγόραν Ἀργεῖον φυγάδα, αὐτὸς δὲ σὺν τοῖς λοιποῖς ἐπορεύετο ἐπὶ τὸν δεύτερον λόφον, καὶ τῷ αὐτῷ τρόπῳ καὶ τοῦτον αἱροῦσιν.

Ἔτι δ' αὐτοῖς τρίτος μαστὸς λοιπὸς ἦν πολὺ ὀρθιώτατος ὁ ὑπὲρ τῆς ἐπὶ τῷ πυρὶ καταληφθείσης φυλακῆς τῆς νυκτὸς ὑπὸ τῶν ἐθελοντῶν. ἐπεὶ δ' ἐγγὺς ἐγένοντο οἱ Ἕλληνες, λείπουσιν οἱ βάρβαροι ἀμαχητὶ τὸν μαστόν, ὥστε θαυμαστὸν πᾶσι γενέσθαι καὶ ὑπώπτευον δείσαντας αὐτούς, μὴ κυκλωθέντες πολιορκοῖντο, ἀπολιπεῖν. οἱ δ' ἄρα ἀπὸ τοῦ ἄκρου καθορῶντες τὰ ὄπισθεν γιγνόμενα πάντες ἐπὶ τοὺς ὀπισθοφύλακας ἐχώρουν. καὶ Ξενοφῶν μὲν σὺν τοῖς νεωτάτοις ἀνέβαινεν ἐπὶ τὸ ἄκρον, τοὺς

1. **ὀρθίοις τοῖς λόχοις**: uskim satnijama (vod stoji za vodom); ovako se navaljuje na brdo, jer bi se falanga razvrgla; među razmake, što su između pojedinih satnija, ne usuđuje se neprijatelj, jer bi ga pritisli s oba boka. — **κύκλῳ**: sa svih strana. — **ἄφοδος**: odlazak, put. — 2. **τέως**: dotle, jedno vrijeme. — **ἀναβαίνοντας**: dok su. — 3. **ἐγγὺς δ' οὐ προσίεντο**: ali blizu k sebi nijesu dali, nijesu ih dočekali. — 5. **ὁρῶσιν**: dat. zavisan o **ἐδόκει**; ali videći drugi zapremljen odlučiše.

7. **ἐννοήσας, μή**: pomisli sa strahom, da ne bi; v. str. 10. b. 10. (καί). — **ἔρημος**: pust, bez straže. — 8. **παριοῦσιν**: dat., na prolazu. — 9. **ἐπὶ πολὺ ἦν**: nadugačko se pružila prtljaga. — **ἅτε πορευόμενα**: jer je išla. — 10. **Κηφισοφῶντος**: Kefisofontova sina. — 11. **Ἀμφιδήμου**: Amfidemova sina. — 12. **φυγάς**: izgnanik.

14. **ὁ ὑπὲρ τῆς**: glavica, što je bila nad stražom, koju su dobrovoljci zatekli. — 15. **τῆς νυκτός**: onu (prošlu) noć. — 16. **ἐγένοντο**: dođoše. — **ἀμαχητί**: bez boja. — 17. **ὥστε**: v. str. 3. b. 1. — **ὑπώπτευον**: pored inf. desi se ovdje ind. uz ὥστε. — **δείσαντας**: da su se oni prepali i ostavili. — 18. **κυκλόω**: opkoljujem. — **πολιορκέω**: podsjedam. — **οἱ δ'**: ali oni (neprijatelji) doista (ἄρα) se nijesu toga bojali, da će ih Ksenofont opkoliti, već su vidjeli, što se ostrag događa — sasjekli su stražu, što ju je Ksenofont ostavio (v. str. 70. red. 3.) —, pa su udarili na zaleđe. — 19. **χωρέω**: polazim. — 20. **νέος**: mlad.

δὲ ἄλλους ἐκέλευσεν ὑπάγειν, ὅπως οἱ τελευταῖοι λόχοι προσμείξειαν, καὶ προελθόντας κατὰ τὴν ὁδὸν ἐν τῷ ὁμαλῷ θέσθαι τὰ ὅπλα εἶπε.

Καὶ ἐν τούτῳ τῷ χρόνῳ ἦλθεν Ἀρχαγόρας ὁ Ἀργεῖος πεφευγὼς καὶ λέγει, ὡς ἀπεκόπησαν ἀπὸ τοῦ λόφου καὶ ὅτι τεθνᾶσι Κηφισόδωρος καὶ Ἀμφικράτης καὶ οἱ ἄλλοι, ὅσοι μὴ ἁλόμενοι κατὰ τῆς πέτρας πρὸς τοὺς ὀπισθοφύλακας ἀφίκοντο. ταῦτα δὲ διαπραξάμενοι οἱ βάρβαροι ἧκον ἐπ᾽ ἀντίπορον λόφον τῷ μαστῷ· καὶ Ξενοφῶν διελέγετο αὐτοῖς δι᾽ ἑρμηνέως περὶ σπονδῶν καὶ τοὺς νεκροὺς ἀπῄτει. οἱ δὲ ἔφασαν ἀποδώσειν, ἐφ᾽ ᾧ μὴ καίειν τὰς οἰκίας. συνωμολόγει ταῦτα ὁ Ξενοφῶν. ἐν ᾧ δὲ τὸ μὲν ἄλλο στράτευμα παρῄει, οἱ δὲ ταῦτα διελέγοντο, πάντες οἱ ἐκ τούτου τοῦ τόπου συνερρύησαν ἐνταῦθα πολέμιοι. καὶ ἐπεὶ ἤρξαντο καταβαίνειν ἀπὸ τοῦ μαστοῦ πρὸς τοὺς ἄλλους, ἔνθα τὰ ὅπλα ἔκειτο, ἵεντο δὴ οἱ πολέμιοι πολλῷ πλήθει καὶ θορύβῳ· καὶ ἐπεὶ ἐγένοντο ἐπὶ τῆς κορυφῆς τοῦ μαστοῦ, ἀφ᾽ οὗ Ξενοφῶν κατέβαινεν, ἐκυλίνδουν πέτρους· καὶ ἑνὸς μὲν κατέαξαν τὸ σκέλος, Ξενοφῶντα δὲ ὁ ὑπασπιστὴς ἔχων τὴν ἀσπίδα ἀπέλιπεν· Εὐρύλοχος δὲ Λουσιεὺς προσέδραμεν αὐτῷ ὁπλίτης

1. ***ὑπάγω***: polagano idem. — ***προσμείγνυμι***: sjedinjujem se, stizavam koga. — 2. ***προελθόντας εἶπε***: reče, neka krenu onim (uskim, za živinu prohodnim) putem i neka na. — ***ἐν τῷ ὁμαλῷ***: na vispoljani. — ***θέσθαι***: v. str. 18. b. 12.

4. ***λόφου***: to je prvi brežuljak, na kom je Ksenofont ostavio stražu. — 5. ***ὅσοι μή***: μή zato, jer stoji u značenju εἰ μή. — ***ἁλόμενοι***: aor. mj. ἁλάμενοι od ***ἅλλομαι*** (skačem). — 7. ***ἀντίπορος τῷ μαστῷ***: protivan, nasuprot onoj (najvišoj) glavici t. j. s jedne strane puta dizala se najviša glavica, što se propinjala nad onim mjestom, odakle su dobrovoljci prvi dan otjerali stražu neprijateljsku, a s druge strane brežuljak, koji su sada zapremili neprijatelji. — ***διαλέγομαι***: pregovaram. — ***ἑρμηνεύς***: tumač. — 8. ***σπονδαί***: primirje. — ***νεκρός***: mrtvac. — 9. ***ἐφ᾽ ᾧ***: s inf. isto, što ὥστε; prevedi: pod pogodbom, da. — ***συνομολογέω***: pristajem na. — ***ἐν ᾧ***: dok; dok je Ksenofont pregovarao, dođe stražnja četa (zaleđe) do glavice i brežuljka, što je bio glavici nasuprot, i stane prolaziti. — 10. ***οἱ δέ***: Ksenofont i neprijatelji. — 11. ***συρρέω***: zgrnem se. — ***ἐνταῦθα***: onamo t. j. blizu glavice. — 12. ***ἔνθα τὰ ὅπλα ἔκειτο***: onamo, gdje su (već) oni stali t. j. na vispoljani, gdje je Ksenofont svojima rekao, da stanu; v. str. 18. b. 12. — ***ἵεντο***: stanu trčati na glavicu, s koje je Ksenofont silazio. — 13. ***θόρυβος***: buka. — ***ἐγένοντο***: dođoše. — 14. ***κορυφή***: vrhunac. — 15. ***κατάγνυμι***: razbijam. — ***σκέλος***: noga. — ***ὑπασπιστής***: štitonoša; svaki oklopnik ima slugu, koji mu nosi štit. — 16. ***Λουσιεύς***: Lušanin, iz Lusa u Arkadiji.

καὶ πρὸ ἀμφοῖν προβεβλημένος ἀπεχώρει, καὶ οἱ ἄλλοι πρὸς τοὺς συντεταγμένους ἀπῆλθον.

Ἐκ δὲ τούτου πᾶν ὁμοῦ ἐγένετο τὸ Ἑλληνικόν, καὶ ἐσκήνησαν αὐτοῦ ἐν πολλαῖς καὶ καλαῖς οἰκίαις καὶ ἐπιτηδείοις δαψιλέσι· καὶ γὰρ οἶνος πολὺς ἦν, ὥστε ἐν λάκκοις κονιατοῖς εἶχον. Ξενοφῶν δὲ καὶ Χειρίσοφος διεπράξαντο, ὥστε λαβόντες τοὺς νεκροὺς ἀπέδοσαν τὸν ἡγεμόνα· καὶ πάντα ἐποίησαν τοῖς ἀποθανοῦσιν ἐκ τῶν δυνατῶν, ὥσπερ νομίζεται ἀνδράσιν ἀγαθοῖς.

Sjutradan (18. studenoga) krenu dalje. Kardušani ih napadaju u klancima. Napokon ugledaju u dolini Kentrit (danas Bohtân-Čai), pritok Tigresa, koji dijeli zemlju kardušku od Armenije.

20. Prijelaz preko Kentrita.

(IV. 3., 8.—24.)

Sađu (19. studenoga) k rijeci, ali ne uzmognu prijeko, jer im je voda sezala preko prsiju i derala, a na dnu je bilo kliskoga kamenja. S onu stranu rijeke opaze vojsku Oronte i Artuhe, konjanici su stali do rijeke a pješaci iza njih po visovima. Helenima iza leđa osvanu po brdima Kardušani.

Ταύτην μὲν οὖν τὴν ἡμέραν καὶ νύκτα ἔμειναν ἐν πολλῇ ἀπορίᾳ ὄντες. Ξενοφῶν δὲ ὄναρ εἶδεν· ἔδοξεν ἐν πέδαις δεδέσθαι, αὗται δὲ αὐτῷ αὐτόμαται περιρρυῆναι, ὥστε λυθῆναι καὶ διαβαίνειν, ὁπόσον ἐβούλετο. ἐπεὶ δὲ ὄρθρος ἦν, ἔρχεται πρὸς τὸν Χειρίσοφον καὶ λέγει, ὅτι ἐλπίδας ἔχει καλῶς ἔσεσθαι, καὶ διηγεῖται αὐτῷ τὸ ὄναρ. ὁ δὲ ἥδετό τε καί, ὡς τάχιστα ἕως ὑπέφαινεν, ἐθύοντο πάντες παρόντες οἱ στρα-

— 1. ***προβεβλημένος***: dopuni τὴν ἀσπίδα, zaklonivši obadvojicu (sebe i Ksenofonta). — ***πρὸς τοὺς συντεταγμένους***: k uvrstanima t. j. k onima, koji su već stali na vispoljani, kako je Ksenofont zapovjedio.

3. ***ἐκ τούτου***: zatim. — ***ὁμοῦ ἐγένετο***: skupi se. — ***σκηνάω***: nastanim se; Ksenofont je dao spaliti šatore, zato moraju u kućama konačiti. — 4. ***αὐτοῦ***: ondje. — ***δαψιλής***: obilat; u obilju hrane. — 5. ***λάκκος***: jama. — ***κονιατός***: okrečen. — 6. ***λαβόντες τούς***: primili su (Heleni) svoje mrtve, a vratili (neprijatelju) vodiča, koji im je pokazao put. — 7. ***ἐκ τῶν δυνατῶν***: po mogućnosti. — ***ὥσπερ νομίζεται***: dopuni ποιεῖν, kako je običaj (iskazivati).

9. ***ταύτην***: 19. studenoga g. 401. — ***ἀπορία***: neprilika. — 10. ***ὄναρ***: san. — ***πέδαι***: negve. — ***δέω***: vežem. — 11. ***αὐτόματος***: sam od sebe. — ***περιρρέω***: spadam. — ***ὥστε***: te je bio riješen i mogao koračati; v. str. 3. b. 1. — 12. ***ὄρθρος***: rano jutro. — 13. ***διηγέομαι***: pripovijedam. — 14. ***ὡς τάχιστα***: čim. — ***ἕως ὑπέφαινεν***: stane zora svitati.

τηγοί· καὶ τὰ ἱερὰ καλὰ ἦν εὐθὺς ἐπὶ τοῦ πρώτου. καὶ ἀπιόντες ἀπὸ τῶν ἱερῶν οἱ στρατηγοὶ καὶ λοχαγοὶ παρήγγελον τῇ στρατιᾷ ἀριστοποιεῖσθαι.

Καὶ ἀριστῶντι τῷ Ξενοφῶντι προσέτρεχον δύο νεανίσκω· ᾔδεσαν γὰρ πάντες, ὅτι ἐξείη αὐτῷ καὶ ἀριστῶντι καὶ δειπνοῦντι προσελθεῖν καί, εἰ καθεύδοι, ἐπεγείραντα εἰπεῖν, εἴ τίς τι ἔχοι τῶν πρὸς τὸν πόλεμον. καὶ τότε ἔλεγον, ὅτι τυγχάνοιεν φρύγανα συλλέγοντες ὡς ἐπὶ πῦρ, κἄπειτα κατίδοιεν ἐν τῷ πέραν ἐν πέτραις καθηκούσαις ἐπ' αὐτὸν τὸν ποταμὸν γέροντά τε καὶ γυναῖκα καὶ παιδίσκας ὥσπερ μαρσίπους ἱματίων κατατιθεμένους ἐν πέτρᾳ ἀντρώδει. ἰδοῦσι δὲ σφίσι δόξαι ἀσφαλὲς εἶναι διαβῆναι· οὐδὲ γὰρ τοῖς πολεμίοις ἱππεῦσι προσβατὸν εἶναι κατὰ τοῦτο. ἐκδύντες δ' ἔφασαν ἔχοντες τὰ ἐγχειρίδια γυμνοὶ ὡς νευσόμενοι διαβαίνειν· καὶ διαβάντες λαβόντες τὰ ἱμάτια πάλιν ἥκειν.

Εὐθὺς οὖν ὁ Ξενοφῶν αὐτός τε ἔσπενδε καὶ τοῖς νεανίσκοις ἐγχεῖν ἐκέλευε καὶ εὔχεσθαι τοῖς φήνασι θεοῖς τά τε ὀνείρατα καὶ τὸν πόρον καὶ τὰ λοιπὰ ἀγαθὰ ἐπιτελέσαι. σπείσας δ' εὐθὺς ἦγε τοὺς νεανίσκους παρὰ τὸν Χειρίσοφον, καὶ διηγοῦνται ταὐτά. ἀκούσας δὲ καὶ ὁ Χειρίσοφος σπονδὰς ἐποίει. σπείσαντες δὲ τοῖς μὲν ἄλλοις παρήγγελλον

1. **ἐπὶ τοῦ πρώτου**: dopuni ἱερείου; kod prve životinje, prvi put. — 2. **λοχαγός**: v. str. 3. b. 7. — **ἀριστοποιέομαι**: doručkujem.

4. **ἀριστάω**: doručkujem. — **νεανίσκος**: mladić. — 5. **ἐξείη**: v. str. 2. b. 4. (ὡς). — **δειπνέω**: ručam. — 6. **καθεύδοι**: v. str. 30. b. 11. (νικῴη). — **ἐπεγείραντα**: zavisno o ἐξείη; v. str. 9. b. 1. (προδόντα); ἐπεγείρω: budim. — **ἔχοι**: dopuni εἰπεῖν; v. str. 51. b. 16. — **τὰ πρὸς πόλεμον**: što se tiče rata. — 7. **τυγχάνοιεν**: v. str. 1. b. 4. i str. 2. b. 4. (ὡς). — **φρύγανα**: suharci. — **ὡς ἐπί**: za; ὡς pokazuje nakanu. — **κἄπειτα**: καὶ ἔπειτα, pa onda. — 8. **ἐν τῷ πέραν**: na drugoj strani. — **καθηκούσαις**: koje su dopirale do. — 9. **παιδίσκη**: djevojka. — **ὥσπερ μάρσιπος ἱματίων**: kao nekakva vreća (puna) haljinâ, s haljinama. — 10. **κατατίθεμαι**: slažem. — **ἐν πέτρᾳ ἀντρώδει**: u dupkoj stijeni, u pećini. — **ἰδοῦσι**: kad su. — **δόξαι**: zavisno o ἔλεγον, učini im se t. j. mislili su, da su oni ljudi ondje rijeku pregazili. — 11. **προσβατός**: pristupačan. — **κατὰ τοῦτο**: na tom mjestu. — 12. **ἐκδύντες**: svukavši se — kažu — kušali su pregaziti; διαβαίνειν mj. impf. de conatu. — **ἐγχειρίδιον**: bodež; v. str. 2. b. 1. (ὁπλίτης). — **γυμνοὶ ὡς νευσόμενοι** (νέω): goli (zato), da bi plivali (ako bi duboko bilo). — 13. **διαβάντες λαβόντες**: pregazivši uzeše i.

14. **σπένδω**: lijem žrtvu. — **ἐγχεῖν**: οἶνον, neka natoče mladićima (da i oni izliju žrtvu). — 15. **εὔχεσθαι**: neka se mole (mladići). — **τοῖς φήνασι**: bogovima, koji su objavili san. — 16. **πόρος**: put. — **καὶ τὰ λοιπὰ ἐπιτελέσαι**: da bi i ostalo — ispunili t. j. dali sretan povratak. — 17. **παρά**: v. str. 9. b. 13. — 18. **σπονδὰς ποιέω**: lijem ljevanicu.

συσκευάζεσθαι, αὐτοὶ δὲ συγκαλέσαντες τοὺς στρατηγοὺς ἐβουλεύοντο, ὅπως ἂν κάλλιστα διαβαῖεν καὶ τούς τε ἔμπροσθεν νικῷεν καὶ ὑπὸ τῶν ὄπισθεν μηδὲν πάσχοιεν κακόν. καὶ ἔδοξεν αὐτοῖς Χειρίσοφον μὲν ἡγεῖσθαι καὶ διαβαίνειν ἔχοντα τὸ ἥμισυ τοῦ στρατεύματος, τὸ δ' ἥμισυ ἔτι ὑπομένειν σὺν Ξενοφῶντι, τὰ δὲ ὑποζύγια καὶ τὸν ὄχλον ἐν μέσῳ τούτων διαβαίνειν.

Ἐπεὶ δὲ ταῦτα καλῶς εἶχεν, ἐπορεύοντο· ἡγοῦντο δ' οἱ νεανίσκοι ἐν ἀριστερᾷ ἔχοντες τὸν ποταμόν· ὁδὸς δὲ ἦν ἐπὶ τὴν διάβασιν ὡς τέτταρες στάδιοι. πορευομένων δ' αὐτῶν ἀντιπαρῆσαν αἱ τάξεις τῶν ἱππέων. ἐπειδὴ δὲ ἦσαν κατὰ τὴν διάβασιν καὶ τὰς ὄχθας τοῦ ποταμοῦ, ἔθεντο τὰ ὅπλα, καὶ αὐτὸς πρῶτος Χειρίσοφος στεφανωσάμενος καὶ ἀποδὺς ἐλάμβανε τὰ ὅπλα καὶ τοῖς ἄλλοις πᾶσι παρήγγελλε, καὶ τοὺς λοχαγοὺς ἐκέλευεν ἄγειν τοὺς λόχους ὀρθίους, τοὺς μὲν ἐν ἀριστερᾷ, τοὺς δ' ἐν δεξιᾷ ἑαυτοῦ. καὶ οἱ μὲν μάντεις ἐσφαγιάζοντο εἰς τὸν ποταμόν· οἱ δὲ πολέμιοι ἐτόξευον καὶ ἐσφενδόνων. ἀλλ' οὔπω ἐξικνοῦντο· ἐπεὶ δὲ καλὰ ἦν τὰ σφάγια, ἐπαιάνιζον πάντες οἱ στρατιῶται καὶ ἀνηλάλαζον. καὶ Χειρίσοφος μὲν ἐνέβαινε καὶ οἱ σὺν ἐκείνῳ· ὁ δὲ Ξενοφῶν τῶν ὀπισθοφυλάκων λαβὼν τοὺς εὐζωνοτάτους ἔθει ἀνὰ κράτος πάλιν ἐπὶ τὸν πόρον

1. **συσκευάζεσθαι**: neka se spremaju; na prvi se znak pokupi prtljaga, na drugi se natovari na živinu ili kola, na treći polaze. — **αὐτοί**: Hirisof i Ksenofont. — 2. **τοὺς ἔμπροσθεν**: one sprijed, neprijatelje s onu stranu rijeke. — **ὑπὸ τῶν ὄπισθεν**: od onih straga, od Kardušana. — 3. **ἔδοξεν αὐτοῖς**: odlučiše, da će. — **ἡγέομαι**: idem na čelu. — 4. **ἔχοντα**: v. str. 1. b. 6. (λαβών). — **τὸ ἥμισυ**: polovica. — 5. **τὰ ὑποζύγια**: tovarna živina. — **ὄχλος**: prtljaga. — **ἐν μέσῳ τούτων**: po srijedi između njih, između vojske Hirisofove i Ksenofontove.

7. **καλῶς εἶχεν**: bilo je u redu; v. str. 3. b. 3. (ἐνοΐκως). — 8. **ἐν ἀριστερᾷ**: χειρί, slijeva. — **ἐπί**: do. — **ὡς**: do, neko. — **τέτταρες στάδιοι**: nešto preko 0·5 km; v. str. 26. b. 6. — 9. **ἀντιπάρειμι**: pratim s onu stranu. — **τάξις**: četa. — 10. **κατά**: na. — **τὰς ὄχθας**: pred strmom obalom; misli stijene s onu stranu. — **ἔθεντο**: v. str. 18. b. 12. — 11. **στεφανόομαι**: ovjenčavam se; Spartanci se prije boja rede i kite. — **ἀποδύς**: skinuvši kabanicu. — 13. **τοὺς λόχους ὀρθίους**: v. str. 69. b. 1. — **τοὺς μέν**: v. str. 3. b. 11. — 14. **ἑαυτοῦ**: njemu (nadesno). — **μάντις**: vrač; sa svakom vojskom ide vrač, koji ogledajući žrtvu proriče. — **σφαγιάζομαι**: dajem klati, žrtvujem. — **εἰς τὸν ποταμόν**: dali su da u rijeku teče krv, jer su žrtvovali bogu rijeke. — 15. **σφενδονάω**: bacam praćicom; v. str. 23. b. 11. — **ἐξικνέομαι**: dohvatam, dobacujem. — 16. **σφάγιον**: žrtva. — **ἐπαιάνιζον**: v. str. 6. b. 5. — **ἀναλαλάζω**: dižem viku. — 17. **οἱ σὺν ἐκείνῳ**: njegove čete. — **ὀπισθοφύλακες**: v. str. 58. b. 11. — 18. **εὔζωνος**: brz; v. str. 58. b. 9. — **θέω**: trčim. — **ἀνὰ κράτος**: svom silom. — **ἐπὶ τὸν πόρον**: k onomu prijelazu, što je bio na putu u gore

τὸν κατὰ τὴν ἔκβασιν τὴν εἰς τὰ τῶν Ἀρμενίων ὄρη, προσποιούμενος ταύτῃ διαβὰς ἀποκλείσειν τοὺς παρὰ τὸν ποταμὸν ἱππεῖς. οἱ δὲ πολέμιοι ὁρῶντες μὲν τοὺς ἀμφὶ Χειρίσοφον εὐπετῶς τὸ ὕδωρ περῶντας, ὁρῶντες δὲ τοὺς ἀμφὶ Ξενοφῶντα θέοντας εἰς τοὔμπαλιν, δείσαντες, μὴ ἀποληφθείησαν, φεύγουσιν ἀνὰ κράτος ὡς πρὸς τὴν τοῦ ποταμοῦ ἄνω ἔκβασιν. ἐπεὶ δὲ κατὰ τὴν ὁδὸν ἐγένοντο, ἔτεινον ἄνω πρὸς τὸ ὄρος. Λύκιος δ' ὁ τὴν τάξιν ἔχων τῶν ἱππέων καὶ Αἰσχίνης ὁ τὴν τάξιν τῶν πελταστῶν τῶν ἀμφὶ Χειρίσοφον, ἐπεὶ ἑώρων ἀνὰ κράτος φεύγοντας, εἵποντο· οἱ δὲ στρατιῶται ἐβόων μὴ ἀπολείπεσθαι, ἀλλὰ συνεκβαίνειν ἐπὶ τὸ ὄρος. Χειρίσοφος δ' αὖ, ἐπεὶ διέβη, τοὺς μὲν ἱππέας οὐκ ἐδίωκεν, εὐθὺς δὲ κατὰ τὰς προσηκούσας ὄχθας ἐπὶ τὸν ποταμὸν ἐξέβαινεν ἐπὶ τοὺς ἄνω πολεμίους. οἱ δὲ ἄνω, ὁρῶντες μὲν τοὺς ἑαυτῶν ἱππέας φεύγοντας, ὁρῶντες δ' ὁπλίτας σφίσιν ἐπιόντας, ἐκλείπουσι τὰ ὑπὲρ τοῦ ποταμοῦ ἄκρα.

Ξενοφῶν δ' ἐπεὶ τὰ πέραν ἑώρα καλῶς γιγνόμενα, ἀπεχώρει τὴν ταχίστην πρὸς τὸ διαβαῖνον στράτευμα· καὶ γὰρ οἱ Καρδοῦχοι φανεροὶ ἤδη ἦσαν εἰς τὸ πεδίον καταβαίνοντες ὡς ἐπιθησόμενοι τοῖς τελευταίοις.

Ksenofont natjera Kardušane i onda brzo prijeđe rijeku.

21. Snijeg i mećava u Armeniji.

(IV. 4., 7.—22.; 5., 3.—21.)

Krenu Armenijom i to ravnicom i preko oniskih brežuljaka. Prijeđu preko izvora rijeke Tigrisa i stignu na Teleboju (danas Kara-

t. j. ondje, gdje su prvi put kušali prelaziti. — 1. **προσποιούμενος**: a činio se, kao da će. — 2. **ταύτῃ**: onuda. — **ἀποκλείω**: zatvoram. — **παρά**: duž. — 3. **εὐπετῶς**: lako. — **περάω**: prelazim: v. str. 3. b. 11. (βουλευομένους). — 4. **εἰς τοὔμπαλιν** (τὸ ἔμπαλιν): natrag. — **μή**: v. str. 10. b. 10. (καί). — 5. **ἀπολαμβάνω**: opkoljavam. — **ὡς πρός**: k; v. str. 72. b. 7. — **τὴν** — **ἔκβασιν**: k putu od rijeke gore (u gore). — 6. **κατά**: na. — **ἐγένοντο**: bili su. — **τείνω**: hitam. — 7. **τάξις**: četa. — 8. **πελταστής**: v. str. 23. b. 11. — **φεύγοντας**: v. str. 3. b. 11. (βουλευομένους). — 9. **οἱ στρατιῶται**: vojnici Hirisofovi. — **βοάω**: vičem. — **μὴ ἀπολείπεσθαι**: neka ne zaostaju, već neka; Likije i Eshin su bili prešli i udarili za neprijateljima, a oklopnici ih vikom sokolili, da se uspnu za neprijateljem na goru. — 11. **προσήκω**: dopirem; sastavi part. sa ἐπὶ τὸν ποταμόν. — **ὄχθη**: brdo. — **ἐπὶ τοὺς ἄνω**: na neprijatelje po visovima. — 13. **σφίσιν**: ἑαυτοῖς, na njih. — 14. **ἄκρον**: vrh.

15. **τὰ πέραν γιγνόμενα**: gdje s onu stranu lijepo polazi za rukom. — **τὴν ταχίστην**: ὁδόν, adverbijal. ak.; brže bolje. — 16. **πρὸς τό**: k vojsci, koja je. — **φανεροὶ ἦσαν**: v. str. 30. b. 9. — 17. **ἐπιτίθεμαί τινι**: navaljujem na; v. str. 2. b. 5. (ὡς).

Su), pritok istočnoga Eufrata (današnjega Murada). Tu je bilo mnogo sela. Glavar bješe Tiribaz, koji se s Helenima nagodi, da im on ne će ništa nažao raditi, a oni da ne će paliti kuća, već samo uzimati hrane, koliko im treba.

Ἐντεῦθεν δ' ἐπορεύθησαν σταθμοὺς τρεῖς διὰ πεδίου, παρασάγγας πεντεκαίδεκα· καὶ Τιρίβαζος παρηκολούθει ἔχων τὴν ἑαυτοῦ δύναμιν, ἀπέχων ὡς δέκα σταδίους· καὶ ἀφίκοντο εἰς βασίλεια καὶ κώμας πέριξ πολλὰς πολλῶν τῶν ἐπιτηδείων μεστάς. στρατοπεδευομένων δ' αὐτῶν γίγνεται τῆς νυκτὸς χιὼν πολλή· καὶ ἕωθεν ἔδοξε διασκηνῆσαι τὰς τάξεις καὶ τοὺς στρατηγοὺς κατὰ τὰς κώμας· οὐ γὰρ ἑώρων πολέμιον οὐδένα καὶ ἀσφαλὲς ἐδόκει εἶναι διὰ τὸ πλῆθος τῆς χιόνος. ἐνταῦθα εἶχον, ὅσα ἐστὶν ἀγαθά, ἱερεῖα, σῖτον, οἴνους παλαιοὺς εὐώδεις, ἀσταφίδας, ὄσπρια παντοδαπά. τῶν δὲ ἀποσκεδαννυμένων τινὲς ἀπὸ τοῦ στρατοπέδου ἔλεγον, ὅτι κατίδοιεν νύκτωρ πολλὰ πυρὰ φαίνοντα. ἐδόκει δὴ τοῖς στρατηγοῖς οὐκ ἀσφαλὲς εἶναι διασκηνοῦν, ἀλλὰ συναγαγεῖν τὸ στράτευμα πάλιν. ἐντεῦθεν συνῆλθον· καὶ γὰρ ἐδόκει διαιθριάζειν. νυκτερευόντων δ' αὐτῶν ἐνταῦθα ἐπιπίπτει χιὼν ἄπλετος, ὥστε ἀποκρύψαι καὶ τὰ ὅπλα καὶ τοὺς ἀνθρώπους κατακειμένους· καὶ τὰ ὑποζύγια συνεπόδισεν ἡ χιών· καὶ πολὺς ὄκνος ἦν ἀνίστασθαι· κατακειμένων γὰρ ἀλεεινὸν ἦν ἡ χιὼν ἐπιπεπτωκυῖα, ὅτῳ μὴ παραρρυείη. ἐπεὶ δὲ Ξενοφῶν ἐτόλμησε γυμνὸς ἀναστὰς σχίζειν ξύλα, τάχ' ἀναστάς τις καὶ ἄλλος ἐκείνου ἀφελόμενος

1. **ἐντεῦθεν**: od Teleboje. — **σταθμός**: v. str. 6. b. 1. — 2. **παρακολουθέω**: pratim. — **ἔχων**: v. str. 1. b. 6. (λαβών). — 3. **ἀπέχω**: daleko sam. — **ὡς**: do, neko. — **δέκα σταδίους**: 1·5 km; v. str. 26. b. 6. — **τὰ βασίλεια**: kraljevski dvor. — **κώμη**: selo. — **πέριξ**: naokolo. — 4. **πολλῶν**: gen. copiae uz μεστός (pun). — **τὰ ἐπιτήδεια**: v. str. 10. b. 15. — **στρατοπεδεύομαι**: taborim se, taborujem. — 5. **χιών**: snijeg. — **ἕωθεν**: u zoru, 29. studenoga g. 401. — **ἔδοξε**: odlučiše. — **διασκηνέω**: razmještam (u stan). — **τάξις**: četa. — 7. **ἐδόκει**: činilo se. — 8. **ὅσα**: štogod ima dobra; dalje se sve nabraja. — **ἱερεῖον**: životinja za žrtvu. — **εὐώδης**: mirisan. — **ἀσταφίς**: suh grozd, sušac. — 9. **ὄσπρια**: varivo. — **παντοδαπός**: svakojaki. — 10. **κατίδοιεν**: v. str. 2. b. 4. (ὡς), — **νύκτωρ**: obnoć. — **φαίνοντα**: gdje svijetle; v. str. 3. b. 11. (βουλευομένους). — **ἐδόκει**: sa εἶναι znači 'činilo se, da nije', sa συναγαγεῖν znači 'odlučiše'; potonje prevedi: nego da treba sakupiti. — 12. **ἐντεῦθεν**: nato. — **διαιθριάζει**: vedri se; mislili su, da se ne trebaju bojati gorega vremena. — **νυκτερεύω**: noćivam. — 13. **ἐνταῦθα**: tu. — **ἄπλετος**: silan. — **ὥστε**: v. str. 3. b. 1. — 14. **συμποδίζω**: sputavam. — 15. **ὄκνος**: otezanje; nije im se dalo ustajati. — **κατακειμένων**: dok su ležali. — **ἀλεεινός**: topao; snijeg bijaše nešto toplo, grijao je. — 16. **ὅτῳ μή**: ᾧτινι μή; μή, jer je mj. εἰ μή τινι. — **παραρρέω**: spadam; ako nije s koga spao. — **τολμάω**: usuđujem se. — 17. **σχίζω**: cijepam. — **τάχα**: odmah. — **ἐκείνου**: zavisno

ἔσχιζεν· ἐκ δὲ τούτου καὶ ἄλλοι ἀναστάντες πῦρ ἔκαιον καὶ ἐχρίοντο· πολὺ γὰρ ἐνταῦθα ηὑρίσκετο χρῖμα, ᾧ ἐχρῶντο ἀντ' ἐλαίου, σύειον καὶ σησάμινον καὶ ἀμυγδάλινον ἐκ τῶν πικρῶν καὶ τερμίνθινον. ἐκ δὲ τῶν αὐτῶν τούτων καὶ μύρον ηὑρίσκετο.

Μετὰ ταῦτα ἐδόκει πάλιν διασκηνητέον εἶναι εἰς στέγας. ἔνθα δὴ οἱ στρατιῶται σὺν πολλῇ κραυγῇ καὶ ἡδονῇ ᾖσαν ἐπὶ τὰς στέγας καὶ τὰ ἐπιτήδεια· ὅσοι δὲ πρότερον ἀπῆσαν τὰς οἰκίας ἐμπρήσαντες ὑπὸ ἀτασθαλίας, δίκην ἐδίδοσαν κακῶς σκηνοῦντες. ἐντεῦθεν ἔπεμψαν νυκτὸς Δημοκράτην Τημνίτην ἄνδρας δόντες ἐπὶ τὰ ὄρη, ἔνθα ἔφασαν οἱ ἀποσκεδαννύμενοι καθορᾶν τὰ πυρά· οὗτος γὰρ ἐδόκει καὶ πρότερον πολλὰ ἤδη ἀληθεῦσαι τοιαῦτα, τὰ ὄντα τε ὡς ὄντα καὶ τὰ μὴ ὄντα ὡς οὐκ ὄντα. πορευθεὶς δὲ τὰ μὲν πυρὰ οὐκ ἔφη ἰδεῖν, ἄνδρα δὲ συλλαβὼν ἧκεν ἄγων ἔχοντα τόξον Περσικὸν καὶ φαρέτραν καὶ σάγαριν, οἵανπερ καὶ αἱ Ἀμαζόνες ἔχουσιν. ἐρωτώμενος δέ, ποδαπὸς εἴη, Πέρσης μὲν ἔφη εἶναι, πορεύεσθαι δ' ἀπὸ τοῦ Τιριβάζου στρατοπέδου, ὅπως ἐπιτήδεια λάβοι. οἱ δὲ ἠρώτων αὐτὸν τὸ στράτευμα, ὁπόσον τ' εἴη καὶ ἐπὶ τίνι συνειλεγμένον. ὁ δὲ εἶπεν, ὅτι Τιρίβαζος εἴη ἔχων τήν τε ἑαυτοῦ δύναμιν καὶ μισθοφόρους Χάλυβας καὶ Ταόχους· παρεσκευάσθαι δὲ αὐτὸν ἔφη ὡς ἐπὶ τῇ ὑπερβολῇ τοῦ ὄρους ἐν τοῖς στενοῖς, ᾗπερ μοναχῇ εἴη πορεία, ἐνταῦθα ἐπιθησόμενον τοῖς Ἕλλησιν.

o ἀφελόμενος, uzme mu posao i. — 1. **ἐκ τούτου**: zatim. — **χρίομαι**: mažem se. — 2. **χρῖμα**: pomast, mast. — **ἀντί**: mjesto. — **σύειος**: svinjski. — 3. **σησάμινος**: sezamov; od sezamove mohunice gradilo se jelo i ulje. — **ἀμυγδάλινος**: bademov. — **ἐκ τῶν πικρῶν**: dopuni ἀμυγδαλῶν, od gorkih badema. — **τερμίνθινος**: smrdljikov. — **ἐκ τῶν αὐτῶν**: od istoga t. j. od svinjske masti i t. d. — **μύρον**: mirišljiva pomast.

5. **στέγη**: krov, kuća. — **ἔνθα**: tad. — 6. **κραυγή**: vika. — 7. **ἐμπίπρημι**: zapalim. — 8. **ἀτασθαλία**: obijest. — **δίκην — σκηνοῦντες**: bili su kažnjeni tim, što su zlo konačili t. j. pod vedrim nebom. — 9. **Τημνίτης**: Temenjanin iz Temenija u Argolidi. — **ἔνθα**: gdje su, kako rekoše oni, koji su se od vojske udaljili, vidjeli. — 11. **ἀληθεύω**: istinu govorim, po istini javljam. — **τὰ ὄντα**: ono, što jest, da jest, a što nije, da nije. — 12. **ἧκεν ἄγων ἔχοντα**: dođe s njime, a imao je. — 13. **φαρέτρα**: tobolac. — **σάγαρις**: dvosjekla bojna sjekira. — 14. **Ἀμάζονες**: misli Amazonke na slici. — **ποδαπός**: odakle. — **εἴη**: v. str. 11. b. 7. — 16. **τὸ στράτευμα**: za vojsku; v. str. 20. b. 12. — **ἐπὶ τίνι**: zašto. — 17. **εἴη**: v. str. 2. b. 4. (ὡς). — 18. **μισθοφόρος**: najamnik. — **Χάλυβες**: Halibljani, na sjeveru Armenije, pokoravali su se Mosinečanima, koji su prebivali Trapezuntu na zapad. — **Τάοχοι**: Taošani, samostalno pleme na sjevernoj granici armenskoj. — **ὡς ἐπὶ τῇ ὑπερβολῇ**: sastavi sa ἐπιθησόμενον, da na prijelazu navali. — 19. **τὰ στενά**: klanac. — **ᾗπερ**: gdjeno. — **μοναχῇ**: jedino. — **εἴη**: v. str. 30. b. 11. (νικῴη). — **πορεία**: put. — 20. **ἐνταῦθα**: tu; tim se ponavlja ono ἐπὶ τῇ ὑπερβολῇ.

Ἀκούσασι τοῖς στρατηγοῖς ταῦτα ἔδοξε τὸ στράτευμα συναγαγεῖν. καὶ εὐθὺς φύλακας καταλιπόντες καὶ στρατηγὸν ἐπὶ τοῖς μένουσι Σοφαίνετον Στυμφάλιον ἐπορεύοντο ἔχοντες ἡγεμόνα τὸν ἁλόντα ἄνθρωπον. ἐπειδὴ δὲ ὑπερέβαλλον τὰ ὄρη, οἱ πελτασταὶ προϊόντες καὶ κατιδόντες τὸ στρατόπεδον οὐκ ἔμειναν τοὺς ὁπλίτας, ἀλλ' ἀνακραγόντες ἔθεον ἐπὶ τὸ στρατόπεδον. οἱ δὲ βάρβαροι ἀκούσαντες τὸν θόρυβον οὐχ ὑπέμειναν, ἀλλ' ἔφευγον· ὅμως δὲ καὶ ἀπέθανόν τινες τῶν βαρβάρων καὶ ἵπποι ἑάλωσαν εἰς εἴκοσι καὶ ἡ σκηνὴ ἡ Τιριβάζου ἑάλω καὶ ἐν αὐτῇ κλῖναι ἀργυρόποδες καὶ ἐκπώματα καὶ οἱ ἀρτοκόποι καὶ οἱ οἰνοχόοι φάσκοντες εἶναι. ἐπειδὴ δὲ ἐπύθοντο ταῦτα οἱ τῶν ὁπλιτῶν στρατηγοί, ἐδόκει αὐτοῖς ἀπιέναι τὴν ταχίστην ἐπὶ τὸ στρατόπεδον, μή τις ἐπίθεσις γένοιτο τοῖς καταλελειμμένοις. καὶ εὐθὺς ἀνακαλεσάμενοι τῇ σάλπιγγι ἀπῆσαν, καὶ ἀφίκοντο αὐθημερὸν ἐπὶ τὸ στρατόπεδον.

Sjutradan (3. prosinca) odluče požuriti se, da se ne skupe neprijatelji i ne zapreme klance. Pregaze Eufrat.

Ἐντεῦθεν ἐπορεύοντο διὰ χιόνος πολλῆς καὶ πεδίου σταθμοὺς τρεῖς, παρασάγγας τρεῖς καὶ δέκα. ὁ δὲ τρίτος ἐγένετο χαλεπὸς καὶ ἄνεμος βορρᾶς ἐναντίος ἔπνει παντάπασιν ἀποκαίων πάντα καὶ πηγνὺς τοὺς ἀνθρώπους. ἔνθα δὴ τῶν μάντεών τις εἶπε σφαγιάσασθαι τῷ ἀνέμῳ, καὶ σφαγιάζεται· καὶ πᾶσι δὴ περιφανῶς ἔδοξεν λῆξαι τὸ χαλεπὸν τοῦ πνεύματος. ἦν δὲ τῆς χιόνος τὸ βάθος ὀργυιά· ὥστε καὶ τῶν ὑποζυγίων καὶ

1. **ἀκούσασι**: kad su čuli. — 2. **στρατηγὸν ἐπὶ τοῖς**: Sofeneta za vojvodu nad onima, koji su ostajali. — 3. **Στυμφάλιος**: v. str. 5. b. 14. — **ἡγεμόνα**: za vodiča. — **ἁλούς**: uhvaćen. — 4. **ὑπερβάλλω**: prelazim. — **πελταστής**: v. str. 23. b. 11. — 5. **μένω**: čekam. — **ὁπλίτης**: v. str. 2. b. 1. — **ἀνακράζω**: povičem. — **θέω**: trčim. — 7. **ὅμως**: ipak. — 8. **ἑάλω**: bi zaplijenjen. — **κλίνη**: počivaljka. — 9. **ἀργυρόπους**: sa srebrnim nožicama. — **ἔκπωμα**: vrč. — **οἱ**: sastavi sa φάσκοντες; koji su kazivali, da su. — **ἀρτοκόπος**: pekar. — **οἰνοχόος**: vinotoča. — 11. **τὴν ταχίστην**: v. str. 11. b. 14. — **ἐπὶ τὸ στρατόπεδον**: u tabor helenski. — **μή**: (u strahu), da ne bi. — **ἐπίθεσις γένοιτο τοῖς**: bilo navale kakve na. — 12. **ἀνακαλέω τῇ σάλπιγγι**: dajem trubiti na povratak. — **ἀπῆσαν**: vraćahu se. — 13. **αὐθημερόν**: isti dan.

14. **διά**: v. str. 11. b. 13. — 15. **τρίτος**: σταθμός, treći dan hoda bio je, 9. prosinca g. 401. — **ἄνεμος βορρᾶς**: vjetar sjevernjak. — 16. **πνέω**: dušem. — **παντάπασιν**: sasvim. — **ἀποκαίω**: ledim. — **πήγνυμι**: činim, da se što ukoči. — 17. **μάντις**: v. str. 73. b. 14. — **σφαγιάσασθαι**: neka žrtvuju; v. str. 73. b. 14. — 18. **σφαγιάζεται**: subj. μάντις. — **περιφανῶς**: očevidno. — **λήγω**: prestajem. — **τὸ χαλεπόν**: žestina. — 19. **βάθος** dubljina. — **ὀργυιά**: hvat, 1·85 m. — **ὥστε**: v. str. 4. b. 4.

τῶν ἀνδραπόδων πολλὰ ἀπώλετο καὶ τῶν στρατιωτῶν ὡς τριάκοντα. διεγένοντο δὲ τὴν νύκτα πῦρ καίοντες· ξύλα δ' ἦν ἐν τῷ σταθμῷ πολλά· οἱ δὲ ὀψὲ προσιόντες ξύλα οὐκ εἶχον. οἱ οὖν πάλαι ἥκοντες καὶ πῦρ καίοντες οὐ προσίεσαν πρὸς τὸ πῦρ τοὺς ὀψίζοντας, εἰ μὴ μεταδοῖεν αὐτοῖς πυροὺς ἢ ἄλλο, εἴ τι ἔχοιεν βρωτόν. ἔνθα δὴ μετεδίδοσαν ἀλλήλοις, ὧν εἶχον ἕκαστοι. ἔνθα δὲ τὸ πῦρ ἐκαίετο, διατηκομένης τῆς χιόνος βόθροι ἐγένοντο μεγάλοι ἔστε ἐπὶ τὸ δάπεδον· οὗ δὴ παρῆν μετρεῖν τὸ βάθος τῆς χιόνος.

Ἐντεῦθεν δὲ τὴν ἐπιοῦσαν ἡμέραν ὅλην ἐπορεύοντο διὰ χιόνος, καὶ πολλοὶ τῶν ἀνθρώπων ἐβουλιμίασαν. Ξενοφῶν δ' ὀπισθοφυλακῶν καὶ καταλαμβάνων τοὺς πίπτοντας τῶν ἀνθρώπων ἠγνόει, ὅ τι τὸ πάθος εἴη. ἐπειδὴ δὲ εἶπέ τις αὐτῷ τῶν ἐμπείρων, ὅτι σαφῶς βουλιμιῶσι, κἂν τι φάγωσιν, ἀναστήσονται, περιιὼν περὶ τὰ ὑποζύγια, εἴ πού τι ὁρῴη βρωτόν, διεδίδου καὶ διέπεμπε διδόντας τοὺς δυναμένους περιτρέχειν τοῖς βουλιμιῶσιν. ἐπειδὴ δέ τι ἐμφάγοιεν, ἀνίσταντο καὶ ἐπορεύοντο.

Πορευομένων δὲ Χειρίσοφος μὲν ἀμφὶ κνέφας πρὸς κώμην ἀφικνεῖται, καὶ ὑδροφορούσας ἐκ τῆς κώμης πρὸς τῇ κρήνῃ γυναῖκας καὶ κόρας καταλαμβάνει ἔμπροσθεν τοῦ ἐρύματος. αὗται ἠρώτων αὐτούς, τίνες εἶεν. ὁ δ' ἑρμηνεὺς εἶπε περσιστί, ὅτι παρὰ βασιλέως πορεύονται πρὸς τὸν σατράπην. αἱ δὲ ἀπεκρίναντο, ὅτι οὐκ ἐνταῦθα εἴη, ἀλλ' ἀπέχει

1. **ἀνδράποδον**: zarobljenik, rob. — **ὡς**: do, neko. — **διεγένοντο καίοντες**: neprestano su palili; v. str. 1. b. 4. — 3. **ὀψέ**: kasno. — **πάλαι**: davno, prije. — 4. **προσίημι πρός**: puštam k. — **ὀψίζω**: kasno dolazim. — **μεταδοῖεν**: v. str. 2. b. 10. (ἀφικνοῖτο). — 5. **πυροί**: pšenica; uz μεταδίδωμι (dajem dio) dolazi redovno gen. part., a ne ak. — **βρωτόν**: jelo. — 6. **ὧν**: τούτων, ἅ; v. str. 4. b. 8. (ὧν). — **διατηκομένης**: a kako se topio. — 7. **βόθρος**: jama. — **ἔστε ἐπί**: sve do. — **δάπεδον**: tle, zemlja. — **οὗ**: gdje, a tu. — **παρῆν**: ἐξῆν. — **μετρέω**: mjerim.

9. **τὴν ἐπιοῦσαν ἡμέραν**: drugi dan, 10. prosinca g. 401. — 10. **βουλιμιάω**: popada me silna glad. — **ὀπισθοφυλακέω**: vodim zaleđe; v. str. 57. b. 5. i 2. — 11. **καταλαμβάνων**: nailazeći na ljude, što su padali. — **τῶν ἀνθρώπων**: gen. part. zavisan o τοὺς πίπτοντας. — **ἀγνοέω**: ne znam. — **ὅ τι τὸ πάθος εἴη**: kakva je to bolest; v. str. 11. b. 7. (εἴη). — 12. **τῶν ἐμπείρων**: od iskusnih. — **κἄν**: καὶ ἐάν; v. str. 1. b. 8. — 13. **ὁρῴη**: v. str. 2. b. 10. — 14. **διδόντας**: u značenju part. fut., prevedi: slao je ljude, koji su mogli trčati, neka dadu silno gladnima. — 15. **ἐμφάγοιεν**: v. str. 2. b. 10.

16. **ἀμφὶ κνέφας**: u suton. — 17. **ὑδροφορέω**: nosim vodu; žene vodonoše. — **πρὸς τῇ κρήνῃ**: kod vrela. — 18. **κόρα**: djevojka. — **ἔμπροσθεν**: pred. — **ἔρυμα**: opkop (oko sela). — 19. **εἶεν**: v. str. 11. b. 7. (εἴη). — **ἑρμηνεύς**: tumač — **περσιστί**: perzijski. — 20. **σατράπης**: v. str. 1. b. 5. — **εἴη**: v. str. 2. b. 4. (ὡς).

ὅσον παρασάγγην. οἱ δ', ἐπεὶ ὀψὲ ἦν, πρὸς τὸν κωμάρχην συνεισέρχονται εἰς τὸ ἔρυμα σὺν ταῖς ὑδροφόροις. Χειρίσοφος μὲν οὖν καί, ὅσοι ἐδυνήθησαν τοῦ στρατεύματος, ἐνταῦθα ἐστρατοπεδεύσαντο, τῶν δ' ἄλλων στρατιωτῶν οἱ μὴ δυνάμενοι διατελέσαι τὴν ὁδὸν ἐνυκτέρευσαν ἄσιτοι καὶ ἄνευ πυρός· καὶ ἐνταῦθά τινες ἀπώλοντο τῶν στρατιωτῶν. ἐφείποντο δὲ τῶν πολεμίων συνειλεγμένοι τινὲς καὶ τὰ μὴ δυνάμενα τῶν ὑποζυγίων ἥρπαζον καὶ ἀλλήλοις ἐμάχοντο περὶ αὐτῶν. ἐλείποντο δὲ τῶν στρατιωτῶν οἵ τε διεφθαρμένοι ὑπὸ τῆς χιόνος τοὺς ὀφθαλμοὺς οἵ τε ὑπὸ τοῦ ψύχους τοὺς δακτύλους τῶν ποδῶν ἀποσεσηπότες. ἦν δὲ τοῖς μὲν ὀφθαλμοῖς ἐπικούρημα τῆς χιόνος, εἴ τις μέλαν τι ἔχων πρὸ τῶν ὀφθαλμῶν ἐπορεύετο, τῶν δὲ ποδῶν, εἴ τις κινοῖτο καὶ μηδέποτε ἡσυχίαν ἔχοι καὶ εἰς τὴν νύκτα ὑπολύοιτο. ὅσοι δὲ ὑποδεδεμένοι ἐκοιμῶντο, εἰσεδύοντο εἰς τοὺς πόδας οἱ ἱμάντες καὶ τὰ ὑποδήματα περιεπήγνυντο· καὶ γὰρ ἦσαν, ἐπειδὴ ἐπέλιπε τὰ ἀρχαῖα ὑποδήματα, καρβάτιναι πεποιημέναι ἐκ τῶν νεοδάρτων βοῶν.

Διὰ τὰς τοιαύτας οὖν ἀνάγκας ὑπελείποντό τινες τῶν στρατιωτῶν· καὶ ἰδόντες μέλαν τι χωρίον διὰ τὸ ἐκλελοιπέναι αὐτόθι τὴν χιόνα ᾔκαζον τετηκέναι· καὶ ἐτετήκει διὰ κρήνην τινά, ἣ πλησίον ἦν ἀτμίζουσα ἐν νάπῃ. ἐνταῦθ' ἐκτραπόμενοι ἐκάθηντο καὶ οὐκ ἔφασαν πορεύεσθαι.

1. **παρασάγγης**: v. str. 6. b. 1. (σταθμός). — **ἐπεί**: jer. — **κωμάρχης**: seoski knez. — 2. **ἐδυνήθησαν**: koji su mogli dalje (u selo). — 3. **τοῦ στρατεύματος**: gen. part. zavisan o ὅσοι. — **ἐνταῦθα**: ondje (u selu). — 4. **διατελέω**: svršujem, prevaljujem. — **ἄσιτος**: bez hrane, gladan. — 6. **τὰ μὴ δυνάμενα τῶν**: ono tovarne živine, što nije mogla dalje. — 7. **ἀλλήλοις**: v. str. 4. b. 5. (Τισσαφέρνει). — **λείπομαι**: zaostajem. — **τῶν στρατιωτῶν**: gen. part. zavisan o οἵ τε. — 8. **διεφθαρμένοι τούς**: kojima su od snijega postradale oči, ak. obzira. — 9. **ψῦχος**: studen. — **οἱ δάκτυλοι**: prsti. — **ἀποσήπομαι**: odgnjilim, otpadam. — 10. **ἐπικούρημα**: pomoć, obrana od. — **πρό**: pred. — 11. **τῶν δὲ ποδῶν**: dodaj ἐπικούρημα, za noge. — **κινέομαι**: gibam se. — **ἡσυχίαν ἔχω**: mirujem. — 12. **εἰς**: za. — **ὑπολύομαι**: izuvam se. — **ὑποδεδεμένος** (ὑποδέω): obut. — **κοιμάομαι**: liježem. — **εἰσδύομαι**: usiječem se. — 13. **ἱμάς**: remen. — **ὑπόδημα**: obuća. — **περιεπήγνυντο**: smrzla bi se (jer je bila od kože istom oderane); predikat uz pl. neutra stoji u Ksenofonta u pluralu češće no u drugih pisaca; v. str. 10. b. 5. (οὕτως). — 14. **ἐπιλείπει μέ τι**: nestaje mi čega. — **τὰ ἀρχαῖα**: stara im je obuća bila od učinjene kože. — **καρβάτιναι**: bile su im obuća karbatine, načinjene od. — 15. **νεόδαρτος**: istom oderan. — **βοῆ** (βοέη): goveđa koža.

16. **ἀνάγκη**: nevolja. — 17. **διὰ τό**: jer je nestalo snijega. — **αὐτόθι**: ondje. — 18. **εἰκάζω**: naslućujem, domišljam se. — **τήκομαι**: topim se. — **ἀτμίζω**: pušim se; ἦν ἀτμίζουσα: pušilo se. — 19. **νάπη**: gudura, uvala. — **ἐνταῦθα ἐκτραπόμενοι**: onamo skrenuvši.

ὁ δὲ Ξενοφῶν ἔχων ὀπισθοφύλακας ὡς ᾔσθετο, ἐδεῖτο αὐτῶν πάσῃ τέχνῃ καὶ μηχανῇ μὴ ἀπολείπεσθαι, λέγων, ὅτι ἕπονται πολλοὶ πολέμιοι συνειλεγμένοι, καὶ τελευτῶν ἐχαλέπαινεν. οἱ δὲ σφάττειν ἐκέλευον· οὐ γὰρ ἂν δύνασθαι πορευθῆναι. ἐνταῦθα ἔδοξε κράτιστον εἶναι τοὺς ἑπομένους πολεμίους φοβῆσαι, εἴ τις δύναιτο, μὴ ἐπίοιεν τοῖς κάμνουσι. καὶ ἦν μὲν σκότος ἤδη, οἱ δὲ προσῇσαν πολλῷ θορύβῳ ἀμφὶ ὧν εἶχον διαφερόμενοι. ἔνθα δὴ οἱ ὀπισθοφύλακες, ἅτε ὑγιαίνοντες, ἐξαναστάντες ἔδραμον εἰς τοὺς πολεμίους· οἱ δὲ κάμνοντες ἀνακραγόντες, ὅσον ἐδύναντο μέγιστον, τὰς ἀσπίδας πρὸς τὰ δόρατα ἔκρουσαν. οἱ δὲ πολέμιοι δείσαντες ἧκαν αὑτοὺς κατὰ τῆς χιόνος εἰς τὴν νάπην, καὶ οὐδεὶς ἔτι οὐδαμοῦ ἐφθέγξατο. καὶ Ξενοφῶν μὲν καὶ οἱ σὺν αὐτῷ εἰπόντες τοῖς ἀσθενοῦσιν, ὅτι τῇ ὑστεραίᾳ ἥξουσί τινες ἐπ' αὐτούς, πορευόμενοι, πρὶν τέτταρα στάδια διελθεῖν, ἐντυγχάνουσιν ἐν τῇ ὁδῷ ἀναπαυομένοις ἐπὶ τῆς χιόνος τοῖς στρατιώταις ἐγκεκαλυμμένοις, καὶ οὐδὲ φυλακὴ οὐδεμία καθειστήκει· καὶ ἀνίστασαν αὐτούς. οἱ δ' ἔλεγον, ὅτι οἱ ἔμπροσθεν οὐχ ὑποχωροῖεν. ὁ δὲ παριὼν καὶ παραπέμπων τῶν πελταστῶν τοὺς ἰσχυροτάτους ἐκέλευε σκέψασθαι, τί εἴη τὸ κωλῦον. οἱ δὲ ἀπήγγελλον, ὅτι ὅλον οὕτως ἀναπαύοιτο τὸ στράτευμα. ἐνταῦθα καὶ οἱ περὶ Ξενοφῶντα ηὐλίσθησαν αὐτοῦ ἄνευ πυρὸς καὶ ἄδειπνοι, φυλακάς, οἵας ἐδύναντο, καταστησάμενοι.

1. ***ὀπισθοφύλακες***: v. str. 58. b. 11. — ***ὡς***: kako, čim (lat. ut). — ***δέομαί τινος***: molim koga. — ***πάσῃ τέχνῃ καὶ μηχανῇ***: svakim načinom i sredstvom, svakojako. — 2. ***μὴ ἀπολείπεσθαι***: da ne zaostaju. — 3. ***τελευτῶν*** (τελευτάω): napokon. — ***χαλεπαίνω***: ljutim se. — ***οἱ δέ***: a oni govorili, neka ih kolje. — 4. ***ἄν***: sastavi sa δύνασθαι, a o δύνασθαι je zavisno πορευθῆναι; v. str. 9. b. 8. (ἄν); ta ne mogu dalje. — 5. ***φοβέω***: plašim, tjeram u bijeg. — ***δύναιτο***: v. str. 30. b. 11. (νικῴη). — ***ἔπειμί τινι***: navaljujem na. — ***τοῖς κάμνουσι***: na iznemogle. — 6. ***σκότος***: mrak. — ***οἱ δέ***: neprijatelji. — ***ἀμφὶ ὧν***: ἀμφὶ τούτων, ἅ; v. str. 4. b. 8. (ὧν). — ***εἶχον***: što su imali (neprijatelji) t. j. što su usput oteli Helenima. — 7. ***διαφερόμενοι***: jer su se svađali; sastavi sa ἀμφὶ ὧν: za ono, što. — ***ἅτε ὑγιαίνοντες***: jer su bili zdravi. — ***ἐξαναστάντες***: krenuvši. — 8. ***ὅσον μέγιστον***: što jače; v. str. 8. b. 11. (τὰ ἄλλα). — 9. ***κρούω***: udaram. — 10. ***ἧκαν αὑτούς***: mj. εἷσαν, spustiše se, odsmicaše se. — ***κατά***: niz. — ***οὐδεὶς οὐδαμοῦ***: v. str. 9. b. 4. — 11. ***φθέγγομαι***: oglašujem se. — 12. ***ἀσθενέω***: slab, bolestan sam. — ***τῇ ὑστεραίᾳ***: ἡμέρᾳ, sjutradan. — ***ἐπ' αὐτούς***: po njih. — ***πορευόμενοι***: krenu i, prije nego —, namjere se. — ***πρίν***: v. str. 14. b. 9. — 13. ***τέτταρα***: 0·6 km; v. str. 26. b. 6. — ***ἀναπαυομένοις***: na vojnike, koji su se zaogrnuli i odmarali se. — 15. ***ἀνίστημι***: dižem. — ***οἱ ἔμπροσθεν***: oni sprijed. — 16. ***ὑποχωρέω***: idem dalje; v. str. 2. b. 4. (ὡς). — ***πάρειμι***: prolazim. — 17. ***τὸ κωλῦον*** (κωλύω): zapreka. — ***εἴη***: v. str. 11. b. 7. (εἴη). — ***ὅλον***: sastavi sa στράτευμα. — 18. ***αὐλίζομαι***: noćivam. — 19. ***ἄδειπνος***: bez ručka.

22. Odmor u selima armenskim.

(IV. 5., 21.—34.)

Ἐπεὶ δὲ πρὸς ἡμέραν ἦν, ὁ μὲν Ξενοφῶν πέμψας πρὸς τοὺς ἀσθενοῦντας τοὺς νεωτάτους ἀναστήσαντας ἐκέλευεν ἀναγκάζειν προϊέναι. ἐν δὲ τούτῳ Χειρίσοφος πέμπει τῶν ἐκ τῆς κώμης σκεψομένους, πῶς ἔχοιεν οἱ τελευταῖοι. οἱ δὲ ἄσμενοι ἰδόντες τοὺς μὲν ἀσθενοῦντας τούτοις παρέδοσαν κομίζειν ἐπὶ τὸ στρατόπεδον, αὐτοὶ δὲ ἐπορεύοντο, καὶ πρὶν εἴκοσι στάδια διεληλυθέναι, ἦσαν πρὸς τῇ κώμῃ, ἔνθα Χειρίσοφος ηὐλίζετο.

Ἐπεὶ δὲ συνεγένοντο ἀλλήλοις, ἔδοξε κατὰ τὰς κώμας ἀσφαλὲς εἶναι τὰς τάξεις σκηνοῦν. καὶ Χειρίσοφος μὲν αὐτοῦ ἔμενεν, οἱ δὲ ἄλλοι διαλαχόντες, ἃς ἑώρων κώμας, ἐπορεύοντο ἕκαστοι τοὺς ἑαυτῶν ἔχοντες. ἔνθα δὴ Πολυκράτης Ἀθηναῖος λοχαγὸς ἐκέλευσεν ἀφιέναι ἑαυτόν· καὶ λαβὼν τοὺς εὐζώνους, θέων ἐπὶ τὴν κώμην, ἣν εἰλήχει Ξενοφῶν, καταλαμβάνει πάντας ἔνδον τοὺς κωμήτας καὶ τὸν κωμάρχην, καὶ πώλους εἰς δασμὸν βασιλεῖ τρεφομένους ἑπτακαίδεκα, καὶ τὴν θυγατέρα τοῦ κωμάρχου ἐνάτην ἡμέραν γεγαμημένην· ὁ δ' ἀνὴρ αὐτῆς λαγῶς ᾤχετο θηράσων καὶ οὐχ ἑάλω ἐν τῇ κώμῃ.

Αἱ δ' οἰκίαι ἦσαν κατάγειοι, τὸ μὲν στόμα ὥσπερ φρέατος, κάτω

1. ***πρὸς ἡμέραν***: u zoru, 11. prosinca g. 401. — 2. ***νέος***: mlad. — ***ἀναστήσαντας***: zavisno o ἐκέλευεν; neka ih dignu i sile, da idu dalje. — ***ἐν τούτῳ***: uto. — 3. ***τῶν ἐκ τῆς κώμης***: gen. part., neke iz sela. — ***σκεψομένους***: da vide; v. str. 2. b. 5. (ὡς). — ***ἔχοιεν***: v. str. 3. b. 3. (ἐνοἰκῶς) i str. 11. b. 7. (εἴη). — 4. ***οἱ τελευταῖοι***: Ksenofontova momčad. — ***οἱ δέ***: a oni, posljednji. — ***ἄσμενοι***: s veseljem; v. str. 5. b. 2. (ἑκών). — ***ἰδόντες***: ugledavši ljude, što ih je poslao Hirisof. — ***τούτοις***: ljudima Hirisofovim. — 5. ***κομίζειν***: da ih (bolesne) otpreme u. — ***πρίν***: v. str. 14. b. 9. — ***εἴκοσι***: 3 km; v. str. 26. b. 6. — 6. ***πρός***: kod. — ***αὐλίζομαι***: noćivam.

8. ***συγγίγνομαί τινι***: sastajem se s kim. — ***κατά***: po. — 9. ***τάξις***: četa. — ***σκηνέω***: nastanim. — ***αὐτοῦ***: ondje. — ***οἱ ἄλλοι***: dopuni στρατηγοί. — 10. ***διαλαγχάνω***: ždrijebom dijelim. — ***ἃς κώμας***: κώμας, ἅς. — ***ἐπορεύοντο***: naime 'u sela'. — ***τοὺς ἑαυτῶν ἔχοντες***: sa svojima. — 11. ***λοχαγός***: v. str. 3. b. 7. — ***ἐκέλευσεν***: reče (Ksenofontu), da ga pusti naprijed. — 12. ***εὔζωνος***: brz; v. str. 58. b. 9. — ***θέω***: trčim. — ***λαγχάνω***: dobivam (ždrijebom). — 13. ***ἔνδον***: unutra. — ***κωμήτης***: seljak. — ***κωμάρχης***: seoski knez. — ***πῶλος***: ždrijebe. — 14. ***εἰς***: za. — ***δασμός***: danak. — 15. ***λαγώς***: zec. — 16. ***θηράσων***: v. str. 2. b. 5. (ὡς).

17. ***κατάγειος***: podzeman. — ***στόμα***: otvor, ulaz. — ***φρέαρ***: zdenac; ulaz bješe kao otvor zdenca. — ***κάτω***: dolje.

δ' εὐρεῖαι· αἱ δὲ εἴσοδοι τοῖς μὲν ὑποζυγίοις ὀρυκταί, οἱ δὲ ἄνθρωποι κατέβαινον ἐπὶ κλίμακος. ἐν δὲ ταῖς οἰκίαις ἦσαν αἶγες, οἶες, βόες, ὄρνιθες καὶ τὰ ἔκγονα τούτων· τὰ δὲ κτήνη πάντα χιλῷ ἔνδον ἐτρέφοντο. ἦσαν δὲ καὶ πυροὶ καὶ κριθαὶ καὶ ὄσπρια καὶ οἶνος κρίθινος ἐν κρατῆρσιν. ἐνῆσαν δὲ καὶ αὐταὶ αἱ κριθαὶ ἰσοχειλεῖς, καὶ κάλαμοι ἐνέκειντο, οἱ μὲν μείζους, οἱ δὲ ἐλάττους, γόνατα οὐκ ἔχοντες. τούτους δ' ἔδει, ὁπότε τις διψῴη, λαβόντα εἰς τὸ στόμα μύζειν. καὶ πάνυ ἄκρατος ἦν, εἰ μή τις ὕδωρ ἐπιχέοι· καὶ πάνυ ἡδὺ συμμαθόντι τὸ πῶμα ἦν. ὁ δὲ Ξενοφῶν τὸν ἄρχοντα τῆς κώμης ταύτης σύνδειπνον ἐποιήσατο καὶ θαρρεῖν αὐτὸν ἐκέλευε λέγων, ὅτι οὔτε τῶν τέκνων στερήσοιτο τήν τε οἰκίαν αὐτοῦ ἀντεμπλήσαντες τῶν ἐπιτηδείων ἀπίασιν, ἢν ἀγαθόν τι τῷ στρατεύματι ἐξηγησάμενος φαίνηται, ἔστ' ἂν ἐν ἄλλῳ ἔθνει γένωνται. ὁ δὲ ταῦτα ὑπισχνεῖτο, καὶ φιλοφρονούμενος οἶνον ἔφρασεν, ἔνθα ἦν κατορωρυγμένος. ταύτην μὲν οὖν τὴν νύκτα διασκηνήσαντες οὕτως ἐκοιμήθησαν ἐν πᾶσιν ἀφθόνοις πάντες οἱ στρατιῶται, ἐν φυλακῇ ἔχοντες τὸν κωμάρχην καὶ τὰ τέκνα αὐτοῦ ὁμοῦ ἐν ὀφθαλμοῖς.

Τῇ δ' ἐπιούσῃ ἡμέρᾳ Ξενοφῶν λαβὼν τὸν κωμάρχην πρὸς Χειρί-

1. **αἱ εἴσοδοι τοῖς**: ulazi za — **ὀρυκτός**: iskopan. — 2. **κλῖμαξ**: ljestve; takvih stanova ima ondje još danas. — **ὄρνιθες**: živad. — 3. **τὰ ἔκγονα τούτων**: mladi od njih. — **κτῆνος**: blago. — **χιλός**: trava, sijeno. — **ἐτρέφοντο**: v. str. 79. b. 13. (περιεπήγνυντο). — 4. **πυροί**: pšenica. — **κριθαί**: ječam. — **ὄσπρια**: varivo. — **οἶνος κρίθινος**: pivo. — **κρατήρ**: vrč poput kotlića gore širok, u njemu se u Helena miješalo vino s vodom. — 5. **ἐνῆσαν**: bijaše i samoga ječma na površini; ἰσοχειλής: plivajući na površini; pljeva je na pivu plivala. — **κάλαμος**: slamka. — **ἐνέκειντο**: bile su ozgo na pivu. — 6. **οἱ μέν**: v. str. 3. b. 11. — **γόνυ**: koljence; bez koljenaca, jer se inače nije dalo na slamku srkati. — 7. **διψῴη**: v. str. 2. b. 10. (ἀφικνοῖτο). — **μύζειν**: dopuni οἶνον, sisati. — **ἄκρατος**: nemiješan, jak. — 8. **συμμαθόντι**: ako se tko priučio. — 9. **σύνδειπνος**: gost; σύνδειπνον ποιέομαι: zovem na ručak. — **θαρρεῖν ἐκέλευε**: reče mu, neka se ne boji. — 10. **τῶν τέκνων**: djece; v. str. 30. b. 16. — **στερήσοιτο**: pas. značenje; v. str. 2. b. 4. (ὡς). — 11. **ἀντιπίμπλημι**: za naknadu napunjujem. — **τῶν ἐπιτηδείων**: gen. copiae. — **ἀπίασιν**: otići će. — **ἤν**: ἐάν; v. str. 2. b. 8. — **ἀγαθόν τι ἐξηγησάμενος φαίνηται**: mj. ἀγαθήν τινα ἡγεμονίαν, v. str. 8. b. 11. (τὰ ἄλλα); ako očevidno valjano pokaže put, v. str. 1. b. 4. — 12. **ἔστ' ἄν**: dok; v. str. 5. b. 9. — **γένωνται**: budu, dođu. — 13. **φιλοφρονούμενος**: ljubazno. — **οἶνον**: v. str. 20. b. 12. (τήν). — **φράζω**: pokazujem. — **κατορωρυγμένος**: zakopan (u okrečenim jamama). — 14. **διασκηνέω**: razmještam se. — **κοιμάομαι**: liježem. — 15. **ἐν πᾶσιν ἀφθόνοις**: u svakom obilju. — 16. **ὁμοῦ**: zajedno.

17. **τῇ ἐπιούσῃ ἡμέρᾳ**: sjutradan, 12. prosinca g. 401. — **λαβών**: v. str. 1. b. 6.

σοφον ἐπορεύετο· ὅπου δὲ παρίοι κώμην, ἐτρέπετο πρὸς τοὺς ἐν ταῖς κώμαις καὶ κατελάμβανε πανταχοῦ εὐωχουμένους καὶ εὐθυμουμένους, καὶ οὐδαμόθεν ἀφίεσαν, πρὶν παραθεῖναι αὐτοῖς ἄριστον· οὐκ ἦν δ', ὅπου οὐ παρετίθεσαν ἐπὶ τὴν αὐτὴν τράπεζαν κρέα ἄρνεια, ἐρίφεια, χοίρεια, μόσχεια, ὀρνίθεια, σὺν πολλοῖς ἄρτοις τοῖς μὲν πυρίνοις, τοῖς δὲ κριθίνοις. ὁπότε δέ τις φιλοφρονούμενός τῳ βούλοιτο προπιεῖν, εἷλκεν ἐπὶ τὸν κρατῆρα, ἔνθεν ἐπικύψαντα ἔδει ῥοφοῦντα πίνειν ὥσπερ βοῦν. καὶ τῷ κωμάρχῃ ἐδίδοσαν λαμβάνειν, ὅ τι βούλοιτο. ὁ δὲ ἄλλο μὲν οὐδὲν ἐδέχετο, ὅπου δέ τινα τῶν συγγενῶν ἴδοι, πρὸς ἑαυτὸν ἀεὶ ἐλάμβανεν. ἐπεὶ δ' ἦλθον πρὸς Χειρίσοφον, κατελάμβανον κἀκείνους σκηνοῦντας ἐστεφανωμένους τοῦ ξηροῦ χιλοῦ στεφάνοις καὶ διακονοῦντας Ἀρμενίους παῖδας σὺν ταῖς βαρβαρικαῖς στολαῖς· τοῖς δὲ παισὶν ἐδείκνυσαν ὥσπερ ἐνεοῖς, ὅ τι δέοι ποιεῖν.

23. Heleni u zemlji taoškoj.

(IV. 7., 1.—14.)

Osmi dan (18. prosinca) preda Ksenofont seoskoga kneza Hirisofu za vodiča, i vojska krene. Putem izbije Hirisof vodiča, jer ih nije vodio onuda, gdje je bilo selâ. Vodič pobjegne. U nekom klancu dočekaju Helene Halibljani, Taošani i Fasijanci, ali Heleni natjeraju neprijatelja i stignu (4. siječnja god. 400.) u zemlju taošku na sjevernoj granici Armenije.

1. **πάρειμι κώμην**: prolazim selom; v. str. 2. b. 10. (ἀφικνοῖτο). — **ἐτρέπετο**: navrnuo bi se. — **πρὸς τοὺς ἐν**: k ljudima u. — 2. **καταλαμβάνω**: zatečem. — **εὐωχουμένους**: gdje se goste; v. str. 3. b. 11. (βουλευομένους). — **εὐθυμέομαι**: dobre sam volje. — 3. **οὐδαμόθεν**: ni otkud. — **ἀφίεσαν**: naime 'Ksenofonta i kneza seoskoga'. — **πρίν**: v. str. 14. b. 9. — **ἄριστον**: doručak. — **οὐκ ἦν, ὅπου οὐ**: svagdje. — 4. **τράπεζα**: stol. — **κρέα ἄρνεια**: janjetina. — **ἐρίφεια**: jaretina. — 5. **χοίρεια**: krmetina. — **μόσχεια**: teletina. — **ὀρνίθεια**: piletina. — **ἄρτος πύρινος**: pšeničan kruh. — 6. **τῳ**: τινί. — **βούλοιτο**: v. str. 2. b. 10. — **προπίνω**: nazdravljam. — **εἷλκεν**: αὐτόν, vukao bi ga. — 7. **ἐπί**: k. — **ἔνθεν**: odakle, sastavi sa πίνειν. — **ἐπικύπτω**: sagibam se. — **ῥοφέω**: srčem. — 8. **λαμβάνειν**: da uzima. — 9. **ὅπου δέ**: nego ako bi gdje. — **οἱ συγγενεῖς**: rođaci. — **πρὸς ἑαυτόν**: k sebi, sa sobom. — 10. **σκηνοῦντας**: gdje se goste. — 11. **ἐστεφανωμένους**: bio je običaj u Helena, te su se kod gozbe ovjenčavali vijencem; jer vojnici nijesu imali drugo, uzeli su sijena. — **τοῦ ξηροῦ χιλοῦ**: gen. materiae. — **ξηρός**: suh. — **διακονέω**: dvorim. — 12. **σύν**: sa, u. — **στολή**: haljina. — 13. **ἐνεός**: nijem.

*

Καὶ τὰ ἐπιτήδεια ἐπέλειπε· χωρία γὰρ ᾤκουν ἰσχυρὰ οἱ Τάοχοι, ἐν οἷς καὶ τὰ ἐπιτήδεια πάντα εἶχον ἀνακεκομισμένοι. ἐπεὶ δ' ἀφίκοντο πρὸς χωρίον, ὃ πόλιν μὲν οὐκ εἶχεν οὐδ' οἰκίας — συνεληλυθότες δ' ἦσαν αὐτόσε καὶ ἄνδρες καὶ γυναῖκες καὶ κτήνη πολλά —, Χειρίσοφος μὲν οὖν πρὸς τοῦτο προσέβαλλεν εὐθὺς ἥκων· ἐπειδὴ δὲ ἡ πρώτη τάξις ἀπέκαμνεν, ἄλλη προσῄει καὶ αὖθις ἄλλη· οὐ γὰρ ἦν ἀθρόοις περιστῆναι, ἀλλ' ἀπότομον ἦν κύκλῳ. ἐπειδὴ δὲ Ξενοφῶν ἦλθε σὺν τοῖς ὀπισθοφύλαξι καὶ πελτασταῖς καὶ ὁπλίταις, ἐνταῦθα δὴ λέγει Χειρίσοφος· „Εἰς καλὸν ἥκετε· τὸ γὰρ χωρίον αἱρετέον· τῇ γὰρ στρατιᾷ οὐκ ἔστι τὰ ἐπιτήδεια, εἰ μὴ ληψόμεθα τὸ χωρίον." ἐνταῦθα δὴ κοινῇ ἐβουλεύοντο· καὶ τοῦ Ξενοφῶντος ἐρωτῶντος, τί τὸ κωλῦον εἴη εἰσελθεῖν, εἶπεν ὁ Χειρίσοφος· „Μία αὕτη πάροδός ἐστιν, ἣν ὁρᾷς· ὅταν δέ τις ταύτῃ πειρᾶται παριέναι, κυλινδοῦσι λίθους ὑπὲρ ταύτης τῆς ὑπερεχούσης πέτρας· ὃς δ' ἂν καταληφθῇ, οὕτω διατίθεται." ἅμα δ' ἔδειξε συντετριμμένους ἀνθρώπους καὶ σκέλη καὶ πλευράς. „Ἢν δὲ τοὺς λίθους ἀναλώσωσιν," ἔφη ὁ Ξενοφῶν, „ἄλλο τι ἢ οὐδὲν κωλύει παριέναι; οὐ γὰρ δὴ ἐκ τοῦ ἐναντίου ὁρῶμεν, εἰ μὴ ὀλίγους τούτους ἀνθρώπους, καὶ τούτων δύο ἢ τρεῖς ὡπλισμένους. τὸ δὲ χωρίον, ὡς καὶ σὺ ὁρᾷς, σχεδὸν τρία ἡμίπλεθρά ἐστιν, ὃ δεῖ βαλλομένους διελθεῖν· τούτου δὲ ὅσον πλέθρον δασὺ πίτυσι διαλειπούσαις μεγάλαις, ἀνθ' ὧν ἑστηκότες ἄνδρες τί ἂν πάσχοιεν ἢ ὑπὸ τῶν

1. **ἐπιλείπει μέ τι**: nestaje mi čega. — **χωρία ἰσχυρά**: tvrda mjesta. — 2. **εἶχον ἀνακεκομισμένοι**: imali su i hranu, nanesavši je. — 3. **συνεληλυθότες ἦσαν**: bijahu se skupili. — **αὐτόσε**: onamo; prevedi: ondje. — 4. **κτῆνος**: blago, stoka. — 5. **τοῦτο**: χωρίον. — **προσβάλλω**: navaljujem. — **εὐθὺς ἥκων**: odmah, čim je došao. — **τάξις**: četa. — 6. **ἦν**: ἐξῆν. — **ἀθρόος**: skupljen, u skupu. — **περιστῆναι**: stati okolo, pritisnuti (mjesto). — 7. **ἀπότομος**: strm, vrletan. — **κύκλῳ**: naokolo. — **ὀπισθοφύλακες**: v. str. 58. b. 11. — 8. **πελταστής**: v. str. 23. b. 11. — **ὁπλίτης**: v. str. 2. b. 1. — **εἰς καλόν**: u dobar čas. — 9. **αἱρετέον**: ἐστίν. — 10. **κοινῇ**: zajedno. — 11. **τί τὸ κωλῦον** (κωλύω): kakva je zapreka, da ne uniđu (u mjesto). — **εἴη**: v. str. 11. b. 7. — 12. **αὕτη**: to, subj.; v. str. 4. b. 1. — **πάροδος**: prilaz. — **ταύτῃ**: tuda. — **πειρᾶται**: ponavljanje u sadašnjosti; v. str. 11. b. 2. (φ). — 13. **κυλινδέω**: vâljâm. — **ὑπέρ**: preko. — **ὑπερέχω**: izvirujem, propeo sam se. — 14. **διατίθεμαι**: stradam. — **συντρίβω**: satirem. — 15. **σκέλη καὶ πλευράς**: ak. obzira, ljude satrtih nogu i rebara. — **ἤν**: ἐάν; v. str. 2. b. 8. — **ἀναλίσκω**: trošim; prevedi: pobacaju. — 16. **ἄλλο τι ἢ οὐδέν**: smeta li što drugo, da ne prođemo. — 17. **εἰ μή**: osim. — **καὶ τούτων**: pa i od njih. — 18. **τὸ χωρίον**: prostor. — **σχεδόν**: gotovo, jedva. — **ἡμίπλεθρον**: pô pletra, 15·4 m. — 19. **βαλλομένους**: pod udarcima. — **τούτου**: τοῦ χωρίου, od njega. — **ὅσον**: koliko, otprilike. — **δασύ**: gust, obrastao. — **πίτυς**: bor. — **διαλειπούσαις**: na razmake. — 20. **ἀνθ' ὧν**: iza kojih.

φερομένων λίθων ἢ ὑπὸ τῶν κυλινδομένων; τὸ λοιπὸν οὖν γίγνεται ὡς ἡμίπλεθρον, ὃ δεῖ, ὅταν λωφήσωσιν οἱ λίθοι, παραδραμεῖν." „Ἀλλὰ εὐθύς," ἔφη ὁ Χειρίσοφος, „ἐπειδὰν ἀρξώμεθα εἰς τὸ δασὺ προσιέναι, φέρονται οἱ λίθοι πολλοί." „Αὐτὸ ἄν," ἔφη, „τὸ δέον εἴη· θᾶττον γὰρ ἀναλώσουσι τοὺς λίθους. ἀλλὰ πορευώμεθα, ἔνθεν ἡμῖν μικρόν τι παραδραμεῖν ἔσται, ἢν δυνώμεθα, καὶ ἀπελθεῖν ῥᾴδιον, ἢν βουλώμεθα."

Ἐντεῦθεν ἐπορεύοντο Χειρίσοφος καὶ Ξενοφῶν καὶ Καλλίμαχος Παρράσιος λοχαγός· τούτου γὰρ ἡγεμονία ἦν τῶν ὀπισθοφυλάκων λοχαγῶν ἐκείνῃ τῇ ἡμέρᾳ· οἱ δὲ ἄλλοι λοχαγοὶ ἔμενον ἐν τῷ ἀσφαλεῖ. μετὰ τοῦτο οὖν ἀπῆλθον ὑπὸ τὰ δένδρα ἄνθρωποι ὡς ἑβδομήκοντα, οὐκ ἀθρόοι, ἀλλὰ καθ' ἕνα, ἕκαστος φυλαττόμενος, ὡς ἐδύνατο. Ἀγασίας δὲ ὁ Στυμφάλιος καὶ Ἀριστώνυμος Μεθυδριεύς, καὶ οὗτοι τῶν ὀπισθοφυλάκων λοχαγοὶ ὄντες, καὶ ἄλλοι δέ, ἐφέστασαν ἔξω τῶν δένδρων· οὐ γὰρ ἦν ἀσφαλὲς ἐν τοῖς δένδροις ἑστάναι πλέον ἢ τὸν ἕνα λόχον. ἔνθα δὴ Καλλίμαχος μηχανᾶταί τι· προὔτρεχεν ἀπὸ τοῦ δένδρου, ὑφ' ᾧ ἦν αὐτός, δύο ἢ τρία βήματα· ἐπειδὴ δὲ οἱ λίθοι φέροιντο, ἀνεχάζεν εὐπετῶς· ἐφ' ἑκάστης δὲ τῆς προδρομῆς πλέον ἢ δέκα ἅμαξαι πετρῶν ἀνηλίσκοντο. ὁ δὲ Ἀγασίας ὡς ὁρᾷ τὸν Καλλίμαχον, ἃ ἐποίει, τὸ στράτευμα πᾶν θεώμενον, δείσας, μὴ οὗτος πρῶτος παραδράμῃ εἰς τὸ χωρίον, οὐδὲ τὸν Ἀριστώνυμον πλησίον ὄντα παρακαλέσας οὐδὲ Εὐρύλοχον τὸν Λουσιέα, ἑταίρους ὄντας, οὐδὲ ἄλλον οὐδένα χωρεῖ αὐτὸς

1. **φέρομαι**: padam. — **τὸ λοιπόν**: ostaloga ima. — **ὡς**: do, neko. — 2. **λωφάω**: prestajem. — 3. **ἀρξώμεθα**: v. str. 11. b. 2. (φ). — **τὸ δασύ**: česta. — 4. **αὐτὸ ἂν τὸ δέον εἴη**: baš to treba da bude, baš tako valja. — 5. **πορευώμεθα**: konj. adhortativni. — **ἔνθεν**: onamo, odakle. — **μικρόν τι — ἔσται**: imat ćemo nešto malo pretrčati. — 6. **ἀπελθεῖν ῥᾴδιον**: ἔσται, lako će (nam) biti uzmaknuti.

8. **Παρράσιος**: v. str. 2. b. 2. — **τούτου**: njegovo je bilo vođenje, on je između lohaga zaleđa stupao sa svojom satnijom prvi; svaki dan bi drugi satnik stupao sa svojom satnijom na čelu cijeloga odjela. — 9. **ἐν τῷ ἀσφαλεῖ**: u sigurnosti. — 10. **μετά**: v. str. 8. b. 14. — **ὑπό**: v. str. 24. b. 12. — 11. **καθ' ἕνα**: jedan po jedan. — 12. **Στυμφάλιος**: v. str. 5. b. 14. — **Μεθυδριεύς**: Metidranin, iz arkadskoga grada Metidrija. — **καὶ οὗτοι ὄντες**: a bili su i oni. — 13. **καὶ δέ**: pa i. — **ἔξω**: izvan. — 14. **ἐν**: pod. — 15. **ἔνθα**: tada. — **μηχανάομαι**: izmišljam. — 16. **βῆμα**: korak. — **φέροιντο**: v. str. 2. b. 10. (ἀφικνοῖτο). — 17. **ἀναχάζω**: uzmičem. — **εὐπετῶς**: lako, brzo. — **ἐπί**: kod. — **προδρομή**: istrčanje, trk. — 18. **Καλλίμαχον**: obj. od θεώμενον. — 19. **τὸ στράτευμα**: obj. od ὁρᾷ; vidi, gdje vojska gleda Kalimaha; v. str. 3. b. 11. (βουλευομένους). — **μή**: v. str. 10. b. 10. (καί). — 21. **Λουσιεύς**: v. str. 70. b. 16. — **οὐδὲ οὐδένα**: v. str. 9. b. 4. — **χωρέω**: idem. — **αὐτός**: sam (solus).

καὶ παρέρχεται πάντας. ὁ δὲ Καλλίμαχος, ὡς ὁρᾷ αὐτὸν παριόντα, ἐπιλαμβάνεται αὐτοῦ τῆς ἴτυος· ἐν δὲ τούτῳ παραθεῖ αὐτοὺς Ἀριστώνυμος Μεθυδριεύς, καὶ μετὰ τοῦτον Εὐρύλοχος Λουσιεύς· πάντες γὰρ οὗτοι ἀντεποιοῦντο ἀρετῆς καὶ διηγωνίζοντο πρὸς ἀλλήλους· καὶ οὕτως ἐρίζοντες αἱροῦσι τὸ χωρίον. ὡς γὰρ ἅπαξ εἰσέδραμον, οὐδεὶς πέτρος ἄνωθεν ἠνέχθη. ἐνταῦθα δὴ δεινὸν ἦν θέαμα. αἱ γὰρ γυναῖκες ῥίπτουσαι τὰ παιδία εἶτα ἑαυτὰς ἐπικατερρίπτουν, καὶ οἱ ἄνδρες ὡσαύτως. ἐνταῦθα δὴ καὶ Αἰνείας Στυμφάλιος λοχαγὸς ἰδών τινα θέοντα ὡς ῥίψοντα ἑαυτόν, στολὴν ἔχοντα καλήν, ἐπιλαμβάνεται ὡς κωλύσων· ὁ δὲ αὐτὸν ἐπισπᾶται, καὶ ἀμφότεροι ᾤχοντο κατὰ τῶν πετρῶν φερόμενοι καὶ ἀπέθανον. ἐντεῦθεν ἄνθρωποι μὲν πάνυ ὀλίγοι ἐλήφθησαν, βόες δὲ καὶ ὄνοι πολλοὶ καὶ πρόβατα.

24. Heleni ugledaju more.

(IV. 7., 19.—27.)

Zatim krenu Heleni zemljom halipskom i skitenskom i stignu velikomu i bogatomu gradu, koji se zvao Gimnijada.

Ἐκ ταύτης ὁ τῆς χώρας ἄρχων τοῖς Ἕλλησιν ἡγεμόνα πέμπει, ὅπως διὰ τῆς ἑαυτῶν πολεμίας χώρας ἄγοι αὐτούς. ἐλθὼν δ' ἐκεῖνος λέγει, ὅτι ἄξει αὐτοὺς πέντε ἡμερῶν εἰς χωρίον, ὅθεν ὄψονται θάλατταν· εἰ δὲ μή, τεθνάναι ἐπηγγείλατο. καὶ ἡγούμενος ἐπειδὴ ἐνέβαλλεν εἰς τὴν πολεμίαν, παρεκελεύετο αἴθειν καὶ φθείρειν τὴν χώραν· ᾧ καὶ δῆλον

2. **αὐτοῦ**: zavisno o τῆς ἴτυος (ἴτυς: rub štita) a ovo o ἐπιλαμβάνεται; v. str. 17. b. 9. — **ἐν τούτῳ**: uto. — **παραθέω**: trčim mimo. — 4. **ἀντιποιέομαί τινος**: otimam se o. — **ἀρετή**: nagrada za junaštvo. — **διαγωνίζομαι**: natječem se. — **ἐρίζω**: takmim se. — 5. **εἰσέδραμον**: uletješe, provališe (u ono mjesto). — **ἄνωθεν**: odozgo. — 6. **δεινός**: strašan. — **θέαμα**: prizor. — 7. **εἶτα**: zatim. — **ἐπικατερρίπτουν**: a za njima (za djecom) bacahu sebe. — **ὡσαύτως**: tako isto. — 8. **ὡς ῥίψοντα**: v. str. 2. b. 5. (ὡς). — 9. **στολή**: haljina. — **κωλύω**: priječim, ustavljam. — 10. **ἐπισπάομαι**: povučem sa sobom. — **ᾤχοντο φερόμενοι**: svališe se odande niz, v. str. 1. b. 4.; οἴχομαι: otišao sam. — 11. **ἐντεῦθεν**: stoga. — **ὄνος**: magarac. — 12. **πρόβατον**: ovca.

13. **ἐκ ταύτης**: πόλεως, iz Gimnijade. — **ἄρχων**: poglavica. — **ἡγεμών**: vodič. — 14. **διὰ τῆς ἑαυτῶν**: zemljom, koja je njima (poglavici i narodu njegovu) neprijateljica. — 15. **πέντε ἡμερῶν**: gen. temp., za pet dana. — 16. **ἐπηγγείλατο**: ponudi se; reče, da je spravan mrijeti. — **ἐνέβαλλεν**: prelazio je. — 17. **αἴθω**: palim. — **φθείρω**: pustošim. — **ᾧ**: po čemu, a po tome.

ἐγένετο, ὅτι τούτου ἑνὸς ἕνεκα ἔλθοι, οὐ τῆς τῶν Ἑλλήνων εὐνοίας. καὶ ἀφικνοῦνται ἐπὶ τὸ ὄρος τῇ πέμπτῃ ἡμέρᾳ· ὄνομα δὲ τῷ ὄρει ἦν Θήχης. ἐπεὶ δὲ οἱ πρῶτοι ἐγένοντο ἐπὶ τοῦ ὄρους, κραυγὴ πολλὴ ἐγένετο. ἀκούσας δὲ ὁ Ξενοφῶν καὶ οἱ ὀπισθοφύλακες ᾠήθησαν ἔμπροσθεν ἄλλους ἐπιτίθεσθαι πολεμίους· εἵποντο γὰρ ὄπισθεν οἱ ἐκ τῆς καιομένης χώρας, καὶ αὐτῶν οἱ ὀπισθοφύλακες ἀπέκτεινάν τέ τινας καὶ ἐζώγρησαν ἐνέδραν ποιησάμενοι, καὶ γέρρα ἔλαβον δασειῶν βοῶν ὠμοβόεια ἀμφὶ τὰ εἴκοσιν. ἐπειδὴ δὲ βοὴ πλείων τε ἐγίγνετο καὶ ἐγγύτερον καὶ οἱ ἀεὶ ἐπιόντες ἔθεον δρόμῳ ἐπὶ τοὺς ἀεὶ βοῶντας καὶ πολλῷ μείζων ἐγίγνετο ἡ βοή, ὅσῳ δὴ πλείους ἐγίγνοντο, ἐδόκει δὴ μεῖζόν τι εἶναι τῷ Ξενοφῶντι, καὶ ἀναβὰς ἐφ' ἵππον καὶ Λύκιον καὶ τοὺς ἱππέας ἀναλαβὼν παρεβοήθει· καὶ τάχα δὴ ἀκούουσι βοώντων τῶν στρατιωτῶν „θάλαττα, θάλαττα“ καὶ παρεγγυώντων. ἔνθα δὴ ἔθεον πάντες καὶ οἱ ὀπισθοφύλακες, καὶ τὰ ὑποζύγια ἠλαύνετο καὶ οἱ ἵπποι. ἐπεὶ δὲ ἀφίκοντο πάντες ἐπὶ τὸ ἄκρον, ἐνταῦθα δὴ περιέβαλλον ἀλλήλους καὶ στρατηγοὺς καὶ λοχαγοὺς δακρύοντες. καὶ ἐξαπίνης ὅτου δὴ παρεγγυήσαντος οἱ στρατιῶται φέρουσι λίθους καὶ ποιοῦσι κολωνὸν μέγαν. ἐνταῦθα ἀνετίθεσαν δερμάτων πλῆθος ὠμοβοείων καὶ βακτηρίας καὶ τὰ αἰχμάλωτα γέρρα, καὶ ὁ ἡγεμὼν αὐτός τε κατέτεμνε τὰ γέρρα καὶ τοῖς ἄλλοις διεκελεύετο. μετὰ ταῦτα τὸν ἡγεμόνα οἱ Ἕλληνες ἀποπέμπουσι δῶρα δόντες ἀπὸ κοινοῦ ἵππον καὶ φιάλην ἀργυρᾶν καὶ

1. **ἔλθοι**: v. str. 2. b. 4. (ὡς). — **τῶν Ἑλλήνων**: gen. obj., prema. — 3. **κραυγή**: vika. — 4. **ὀπισθοφύλακες**: v. str. 58. b. 11. — **ἔμπροσθεν**: sprijed. — **ἐπιτίθεμαι**: navaljujem. — 5. **οἱ ἐκ τῆς**: ljudi iz zemlje, što se. — **αὐτῶν**: sastavi sa τινάς. — 6. **ζωγρέω**: živa hvatam. — **ἐνέδραν ποιέομαι**: stavljam zasjedu. — 7. **γέρρον**: v. str. 24. b. 7. — **δασύς**: gust, kosmat. — **βοῆ** (βοέη): goveđa koža; βοῶν, gen. materiae. — **ὠμοβόειος**: od sirove volujske kože; štitovi od kosmate, sirove goveđe kože. — 8. **βοή**: vika; jer se vika sve većma i bliže čula. — **οἱ ἀεὶ ἐπιόντες**: oni, koji bi svaki put nadošli. — **δρόμος**: trk. — 9. **ἐπί**: k. — **ἀεί**: uvijek, neprestano. — **βοάω**: vičem. — **πολλῷ, ὅσῳ**: dat. mensurae. — 10. **ἐδόκει**: sastavi sa Ξενοφῶντι. — 11. **Λύκιος**: Likije iz Atene, vođa konjaništva. — **παραβοηθέω**: idem u pomoć. — **τάχα**: doskora. — 12. **βοώντων**: v. str. 25. b. 7. (Κύρου) i str. 3. b. 11. (βουλευομένους). — **παρεγγυάω**: dajem dalje, dovikujem drugomu. — 13. **ἠλαύνετο**: nagonili su živinu, za sing. v. str. 10. b. 5. (οὕτως). — 14. **ἄκρον**: vrh. — **περιβάλλω τινά**: grlim. — 15. **δακρύω**: plačem. — **ἐξαπίνης**: iznenada. — 16. **ὅτου**: οὗτινος, na nečiji poklik. — **κολωνός**: brežuljak, kao pobjedni znak. — 17. **δέρμα**: koža. — **βακτηρία**: toljaga. — 18. **αἰχμάλωτος**: otet. — **κατατέμνω**: rasijecam; sjekao ih je, da ih neprijatelj više ne može upotrijebiti. — 19. **διεκελεύετο**: dopuni κατατέμνειν. — 20. **κοινόν**: zajedničko dobro; od njega se podmiruju troškovi, kao što su na pr. plaća vodiču, dobavljanje praćica, brodarina. — **φιάλη**: čaša.

σκευὴν Περσικὴν καὶ δαρεικοὺς δέκα· ᾔτει δὲ μάλιστα τοὺς δακτυλίους, καὶ ἔλαβε πολλοὺς παρὰ τῶν στρατιωτῶν. κώμην δὲ δείξας αὐτοῖς, οὗ σκηνήσουσι, καὶ τὴν ὁδόν, ἣν πορεύσονται εἰς Μάκρωνας, ἐπεὶ ἑσπέρα ἐγένετο, ᾤχετο ἀπιών.

25. Dolazak u Trapezunt i igre.

(IV. 8., 20.—28.)

Prođu zemljom makronskom, razbiju Kolšane i stignu u sela njihova.

Καὶ τὰ μὲν ἄλλα οὐδέν, ὅ τι καὶ ἐθαύμασαν· τὰ δὲ σμήνη πολλὰ ἦν αὐτόθι, καὶ τῶν κηρίων ὅσοι ἔφαγον τῶν στρατιωτῶν, πάντες ἄφρονές τε ἐγίγνοντο καὶ ἤμουν καὶ ὀρθὸς οὐδεὶς ἐδύνατο ἵστασθαι, ἀλλ' οἱ μὲν ὀλίγον ἐδηδοκότες σφόδρα μεθύουσιν ἐῴκεσαν, οἱ δὲ πολύ, μαινομένοις, οἱ δὲ καὶ ἀποθνῄσκουσιν. ἔκειντο δὲ οὕτω πολλοί, ὥσπερ τροπῆς γεγενημένης, καὶ πολλὴ ἦν ἀθυμία. τῇ δ' ὑστεραίᾳ ἀπέθανε μὲν οὐδείς, ἀμφὶ δὲ τὴν αὐτήν πως ὥραν ἀνεφρόνουν· τρίτῃ δὲ καὶ τετάρτῃ ἀνίσταντο ὥσπερ ἐκ φαρμακοποσίας.

Ἐντεῦθεν δ' ἐπορεύθησαν δύο σταθμούς, παρασάγγας ἑπτά, καὶ ἦλθον ἐπὶ θάλατταν εἰς Τραπεζοῦντα, πόλιν Ἑλληνίδα οἰκουμένην ἐν τῷ Εὐξείνῳ Πόντῳ, Σινωπέων ἀποικίαν ἐν τῇ Κόλχων χώρᾳ. ἐνταῦθα ἔμειναν ἡμέρας ἀμφὶ τὰς τριάκοντα ἐν ταῖς τῶν Κόλχων κώμαις· κἀντεῦθεν ὁρμώμενοι ἐλῄζοντο τὴν Κολχίδα. ἀγορὰν δὲ παρεῖχον τῷ στρατοπέδῳ

1. σκευή: odijelo. — δαρεικός: 15·72 K. — δακτύλιος: prsten; njim pečate Heleni spise. — 4. ᾤχετο ἀπιών: vrati se odande; v. str. 86. b. 10.

5. τὰ μὲν ἄλλα: uostalom, inače; v. str. 8. b. 11. — οὐδέν: dopuni ἦν. — σμῆνος: košnica. — 6. αὐτόθι: ondje. — κηρίον: saće; v. str. 33. b. 10. — τῶν στρατιωτῶν: gen. part. radi ὅσοι. — ἄφρων γίγνομαι: gubim svijest. — 7. ἐμέω: bljujem. — 8. σφόδρα: jako, sastavi sa μεθύουσι (dat.). — μεθύω: pjan san; opojnost meda, kažu, polazi od biljke Azalea pontica. — ἔοικά τινι: nalik sam na. — 9. ἀποθνῄσκουσιν: dat. — ὥσπερ τροπῆς γενομένης: kao da je bio poraz. — 10. ἀθυμία: smutnja. — τῇ ὑστεραίᾳ: v. str. 40. b. 3. — 11. πώς: nekako. — ἀναφρονέω: osvješćujem se. — τρίτῃ: 5. veljače g. 400. — 12. ἐκ: iza. — φαρμακοποσία: piće lijeka, liječenje.

13. σταθμός: v. str. 6. b. 1. — 14. Τραπεζοῦς: Trapezunt, danas Trabuzun na Crnom moru. — 15. Σινωπεύς: Sinopljanin; Sinopa na Crnom moru. — ἀποικία: naseobina. — 16. τριάκοντα: od 9. veljače do 10. ožujka. — κἀντεῦθεν: καὶ ἐντεῦθεν. — 17. λῄζω: plijenim. — παρέχω ἀγοράν: podajem trg, prodajem hranu.

Τραπεζούντιοι, καὶ ἐδέξαντό τε τοὺς Ἕλληνας καὶ ξένια ἔδοσαν βοῦς καὶ ἄλφιτα καὶ οἶνον. συνδιεπράττοντο δὲ καὶ ὑπὲρ τῶν πλησίον Κόλχων τῶν ἐν τῷ πεδίῳ μάλιστα οἰκούντων, καὶ ξένια καὶ παρ' ἐκείνων ἦλθον βόες.

Μετὰ δὲ τοῦτο τὴν θυσίαν, ἣν ηὔξαντο, παρεσκευάζοντο· ἦλθον δ' αὐτοῖς ἱκανοὶ βόες ἀποθῦσαι τῷ Διὶ σωτήρια καὶ τῷ Ἡρακλεῖ ἡγεμόσυνα καὶ τοῖς ἄλλοις θεοῖς, ἃ ηὔξαντο. ἐποίησαν δὲ καὶ ἀγῶνα γυμνικὸν ἐν τῷ ὄρει, ἔνθαπερ ἐσκήνουν. εἵλοντο δὲ Δρακόντιον Σπαρτιάτην, ὃς ἔφυγε παῖς ὢν οἴκοθεν, παῖδα ἄκων κατακανὼν ξυήλῃ πατάξας, δρόμου τ' ἐπιμεληθῆναι καὶ τοῦ ἀγῶνος προστατῆσαι. ἐπειδὴ δὲ ἡ θυσία ἐγένετο, τὰ δέρματα παρέδοσαν τῷ Δρακοντίῳ, καὶ ἡγεῖσθαι ἐκέλευον, ὅπου τὸν δρόμον πεποιηκὼς εἴη. ὁ δὲ δείξας, οὗπερ ἑστηκότες ἐτύγχανον· „Οὗτος ὁ λόφος," ἔφη, „κάλλιστος τρέχειν, ὅπου ἄν τις βούληται." „Πῶς οὖν," ἔφασαν, „δυνήσονται παλαίειν ἐν σκληρῷ καὶ δασεῖ οὕτως;" ὁ δ' εἶπε· „Μᾶλλόν τι ἀνιάσεται ὁ καταπεσών." ἠγωνίζοντο δὲ παῖδες μὲν στάδιον τῶν αἰχμαλώτων οἱ πλεῖστοι, δόλιχον δὲ Κρῆτες πλείους ἢ ἑξήκοντα, πάλην δὲ καὶ πυγμὴν καὶ παγκράτιον Ἀρκάδες, καὶ καλὴ θέα ἐγένετο· πολλοὶ γὰρ κατέβησαν, καὶ ἅτε θεωμένων τῶν ἑταίρων πολλὴ φιλονικία

1. ξένια: na dar. — 2. ἄλφιτα: ječmeno brašno. — συνδιεπράττοντο ὑπέρ: sudjeljujem kod ugovora sa; Trapezunćani su išli na ruku Kolšanima, s kojima su pregovarali Heleni. — οἱ πλησίον: bližnji, susjedi. — 3. μάλιστα: većinom. — ξένια: na dar.

4. ηὔξαντο: što je bijahu zavjetovali, kad su im Perzijanci ubili vođe. — 5. ἱκανός: dovoljan. — ἀποθῦσαι: da žrtvuju. — σωτήρια (ἱερά): žrtva za spas. — Ἡρακλῆς: Heraklo je provodič i zaštitnik putnikâ. — ἡγεμόσυνα (ἱερά): žrtva za sretan put. — 6. ἀγὼν γυμνικός: tjelesno natjecanje, igre; γυμνός, gol; goli su se natjecali. — 7. σκηνέω: taborim se. — αἱρέομαι: izabiram. — 8. ὤν: kao. — οἴκοθεν: od kuće. — ἄκων: nehotice; v. str. 5. b. 2. (ἑκών). — ξυήλη: bodež. — πατάσσω: udaram; jer je ubio udarivši. — δρόμου ἐπιμεληθῆναι: zavisno o εἵλοντο; da priredi trkalište, v. str. 10. b. 12. — 9. προστατέω τινός: ravnam čim. — 10. δέρμα: koža. — ἡγεῖσθαι ἐκέλευον: govorili su mu, da ih vodi onamo. — 11. πεποιηκὼς εἴη: v. str. 30. b. 11. (νικῴη). — δείξας, οὗπερ: a on pokazavši, da je tu, gdje. — ἐτύγχανον: v. str. 1. b. 4. — 12. λόφος: brežuljak. — τρέχειν: za trčanje. — 13. παλαίω: rvem se. — ἐν σκληρῷ καὶ δασεῖ: na neravnu i zaraslu mjestu. — 14. μᾶλλόν τι: nešto jače. — ἀνιάσεται: boljet će onoga, koji. — στάδιον: u trku (do mete), unutrašnji objekt. — 15. τῶν αἰχμαλώτων οἱ πλεῖστοι: većinom zarobljenici; nijesu imali dosta dječaka helenskih. — δόλιχος: u dugačkom trku, 24 puta od mete do mete. — 16. πάλη: rvanje. — πυγμή: šakanje. — παγκράτιον: pankratija, rvanje sa šakanjem. — θέα: prizor. — 17. κατέβησαν: izađoše na mejdan. — ἅτε θεωμένων: jer su ih gledali. — φιλονικία: želja za pobjedom, takma.

ἐγίγνετο. ἔθεον δὲ καὶ ἵπποι καὶ ἔδει αὐτοὺς κατὰ τοῦ πρανοῦς ἐλάσαντας ἐν τῇ θαλάττῃ ἀποστρέψαντας πάλιν ἄνω πρὸς τὸν βωμὸν ἄγειν. καὶ κάτω μὲν οἱ πολλοὶ ἐκυλινδοῦντο· ἄνω δὲ πρὸς τὸ ἰσχυρῶς ὄρθιον μόγις βάδην ἐπορεύοντο οἱ ἵπποι· ἔνθα πολλὴ κραυγὴ καὶ γέλως καὶ παρακέλευσις ἐγίγνετο.

26. Heleni vijećaju o daljem putu.

(V. 1., 2.—14.)

Ἐκ δὲ τούτου ξυνελθόντες ἐβουλεύοντο περὶ τῆς λοιπῆς πορείας· ἀνέστη δὲ πρῶτος Λέων Θούριος καὶ ἔλεξεν ὧδε· „Ἐγὼ μὲν τοίνυν," ἔφη, „ὦ ἄνδρες, ἀπείρηκα ἤδη ξυσκευαζόμενος καὶ βαδίζων καὶ τρέχων καὶ τὰ ὅπλα φέρων καὶ ἐν τάξει ἰὼν καὶ φυλακὰς φυλάττων καὶ μαχόμενος, ἐπιθυμῶ δὲ ἤδη παυσάμενος τούτων τῶν πόνων, ἐπεὶ θάλατταν ἔχομεν, πλεῖν τὸ λοιπὸν καὶ ἐκταθεὶς ὥσπερ Ὀδυσσεὺς ἀφικέσθαι εἰς τὴν Ἑλλάδα." ταῦτα ἀκούσαντες οἱ στρατιῶται ἀνεθορύβησαν, ὡς εὖ λέγει· καὶ ἄλλος ταὐτὰ ἔλεγε, καὶ πάντες οἱ παριόντες. ἔπειτα δὲ Χειρίσοφος ἀνέστη καὶ εἶπεν ὧδε· „Φίλος μοί ἐστιν, ὦ ἄνδρες, Ἀναξίβιος, ναυαρχῶν δὲ καὶ τυγχάνει. ἢν οὖν πέμψητέ με, οἶμαι ἂν ἐλθεῖν καὶ τριήρεις ἔχων καὶ πλοῖα τὰ ἡμᾶς ἄξοντα· ὑμεῖς δέ, εἴπερ πλεῖν βούλεσθε, περιμένετε, ἔστ' ἂν ἐγὼ ἔλθω· ἥξω δὲ ταχέως." ἀκούσαντες ταῦτα οἱ στρατιῶται ἥσθησάν τε καὶ ἐψηφίσαντο πλεῖν αὐτὸν ὡς τάχιστα.

1. ***ἔθεον καὶ ἵπποι***: utrkivali se i na konjma. — ***αὐτούς*** (ἵππους): obj. od ἄγειν. — ***κατὰ πρανοῦς***: nizbrdo. — ***ἐλάσαντας ἐν τῇ θαλάττῃ ἀποστρέψαντας***: trebalo je da (ljudi) pojašu (do mora), kod mora da se okrenu i gone ih (konje) gore k. — 3. ***κάτω***: dolje. — ***κυλινδέομαι***: valjam se. — ***πρὸς τὸ ἰσχυρῶς ὄρθιον***: na silnu strminu. — 4. ***μόγις***: jedva. — ***βάδην***: korakom. — 5. ***παρακέλευσις***: poticanje, pocikivanje.

6. ***ἐκ τούτου***: zatim. — 7. ***Θούριος***: Turijac, iz atenske naseobine Turija na Tarentskom zalivu, danas Terra nuova. — 8. ***ἀπαγορεύω***: sustajem. — ***ξυσκευάζομαι***: spremam prtljagu. — 10. ***παυσάμενος πλεῖν***: počinuti i ploviti. — ***τούτων***: od tih, gen. separat.; v. str. 20. b. 13. — 11. ***τὸ λοιπόν***: v. str. 50. b. 10. — ***ἐκταθείς***: pruživši se. — 12. ***ἀναθορυβέω***: vikom potvrđujem. — 13. ***οἱ παριόντες***: koji su izlazili (da govore), govornici. — 15. ***ναυαρχέω***: zapovjednik sam brodovlja; Anaksibije je zapovijedao brodovljem spartanskim kod Bizanta. — ***τυγχάνει***: v. str. 1. b. 4. — ***ἤν***: ἐάν; v. str. 2. b. 8. — ***ἂν ἐλθεῖν***: v. str. 9. b. 8. (ἄν). — 16. ***τριήρης***: troveslarka, s tri reda vesala. — ***ἔχων***: v. str. 1. b. 6. (λαβών). — ***πλοῖον***: splav. — ***τὰ ἄξοντα***: koje će nas. — 17. ***ἔστ' ἄν***: dok ne; v. str. 5. b. 9. (πρίν). — 18. ***ψηφίζομαι***: glasujem, odlučujem.

Μετὰ τοῦτον Ξενοφῶν ἀνέστη καὶ ἔλεξεν ὧδε· „Χειρίσοφος μὲν δὴ ἐπὶ πλοῖα στέλλεται, ἡμεῖς δὲ ἀναμενοῦμεν. ὅσα μοι οὖν δοκεῖ καιρὸς εἶναι ποιεῖν ἐν τῇ μονῇ, ταῦτα ἐρῶ. πρῶτον μὲν τὰ ἐπιτήδεια δεῖ πορίζεσθαι ἐκ τῆς πολεμίας. οὔτε γὰρ ἀγορὰ ἔστιν ἱκανὴ οὔτε, ὅτου ὠνησόμεθα, εὐπορία, εἰ μὴ ὀλίγοις τισίν· ἡ δὲ χώρα πολεμία· κίνδυνος οὖν πολλοὺς ἀπόλλυσθαι, ἢν ἀμελῶς τε καὶ ἀφυλάκτως πορεύησθε ἐπὶ τὰ ἐπιτήδεια. ἀλλά μοι δοκεῖ σὺν προνομαῖς λαμβάνειν τὰ ἐπιτήδεια, ἄλλως δὲ μὴ πλανᾶσθαι, ὡς σῴζησθε, ἡμᾶς δὲ τούτων ἐπιμελεῖσθαι." ἔδοξε ταῦτα.

„Ἔτι τοίνυν ἀκούσατε καὶ τάδε. ἐπὶ λείαν γὰρ ὑμῶν ἐκπορεύσονταί τινες. οἶμαι οὖν βέλτιστον εἶναι ἡμῖν εἰπεῖν τὸν μέλλοντα ἐξιέναι, φράζειν δὲ καὶ ὅποι, ἵνα καὶ τὸ πλῆθος εἰδῶμεν τῶν ἐξιόντων καὶ τῶν μενόντων καὶ ξυμπαρασκευάζωμεν, ἐάν τι δέῃ, κἂν βοηθῆσαί τισι καιρὸς ᾖ, εἰδῶμεν, ὅποι δεήσει βοηθεῖν, καὶ ἐάν τις τῶν ἀπειροτέρων ἐγχειρῇ ποι, ξυμβουλεύωμεν πειρώμενοι εἰδέναι τὴν δύναμιν, ἐφ' οὓς ἂν ἴωσιν." ἔδοξε καὶ ταῦτα.

„Ἐννοεῖτε δὲ καὶ τόδε," ἔφη. „σχολὴ τοῖς πολεμίοις λῄζεσθαι, καὶ δικαίως ἡμῖν ἐπιβουλεύουσιν· ἔχομεν γὰρ τὰ ἐκείνων· ὑπερκάθηνται δὲ ἡμῶν. φυλακὰς δή μοι δοκεῖ δεῖν περὶ τὸ στρατόπεδον εἶναι· ἐὰν οὖν κατὰ μέρος φυλάττωμεν καὶ σκοπῶμεν, ἧττον ἂν δύναιντο ἡμᾶς θη-

2. ***ἐπί***: po. — ***στέλλομαι***: šaljem se, polazim. — ***καιρός***: zgoda. — 3. ***ἐν τῇ μονῇ***: za boravka ovdje. — ***πορίζομαι***: dobavljam. — 4. ***ἐκ τῆς πολεμίας***: χώρας. — ***ἱκανός***: dovoljan. — ***ὅτου***: οὗτινος, čim; gen. pretii. — 5. ***εὐπορία***: obilje; poredaj: εὐπορία, ὅτου; obilje onoga, čim. — ***εἰ μὴ ὀλίγοις***: osim u malo koga; dat. pos. — ***κίνδυνος***: ἐστίν. — 6. ***ἀπόλλυσθαι***: da će izginuti. — ***ἀμελῶς***: bezbrižno. — ***ἀφυλάκτως***: neoprezno. — ***ἐπί***: po. — 7. ***προνομή***: nabava hrane, četovanje radi hrane; mislim, da uzimate hranu pod stražom. — 8. ***ἄλλως δέ***: pa drukčije (utaman) da ne tumarate, eda biste.

10. ***ἐπὶ λείαν***: po plijen. — 11. ***εἰπεῖν τὸν μέλλοντα***: da nam kaže, tko hoće da. — ***φράζω***: kazujem. — 12. ***ὅποι***: kamo (hoće da ide). — 13. ***ξυμπαρασκευάζω***: zajedno priređujem. — ***κἄν***: καὶ ἐάν. — 14. ***εἰδῶμεν***: sastavi sa ἵνα. — ***ἄπειρος***: neiskusan. — ***ἐγχειρέω***: kušam; ako bi kud smjerao. — 15. ***ξυμβουλεύωμεν***: dopuni αὐτῷ. — ***πειρώμενοι***: gledajući da saznamo. — ***τὴν δύναμιν***: dodaj τούτων (onih).

17. ***ἐννοέω***: uzimam na um. — ***σχολή***: ἐστίν, neprijatelji imadu kad plijeniti (nas, jer ćemo dulje vremena ovdje ostati). — 18. ***ἐπιβουλεύω τινί***: radim o glavi komu. — ***ἔχομεν***: oteli smo. — ***τὰ ἐκείνων***: imutak njihov. — ***ὑπερκάθημαί τινος***: vrebam. — 20. ***κατὰ μέρος***: redom. — ***φυλάττωμεν***: ako budemo stražili. — ***σκοπέω***: pazim. — ***ἂν δύναιντο***: moći će; druga vrsta hipotetska sastavljena s trećom.

ρᾶν οἱ πολέμιοι. ἔτι τοίνυν τάδε ὁρᾶτε. εἰ μὲν ἠπιστάμεθα σαφῶς, ὅτι ἥξει πλοῖα Χειρίσοφος ἄγων ἱκανά, οὐδὲν ἂν ἔδει ὧν μέλλω λέγειν· νῦν δ' ἐπεὶ τοῦτο ἄδηλον, δοκεῖ μοι πειρᾶσθαι πλοῖα συμπαρασκευάζειν καὶ αὐτόθεν. ἢν μὲν γὰρ ἔλθῃ ἄγων, ὑπαρχόντων ἐνθάδε ἐν ἀφθονωτέροις πλευσόμεθα· ἂν δὲ μὴ ἄγῃ, τοῖς ἐνθάδε χρησόμεθα. ὁρῶ δὲ ἐγὼ πλοῖα πολλάκις παραπλέοντα· εἰ οὖν αἰτησάμενοι παρὰ Τραπεζουντίων μακρὰ πλοῖα κατάγοιμεν καὶ φυλάττοιμεν αὐτά, τὰ πηδάλια παραλυόμενοι, ἕως ἂν ἱκανὰ τὰ ἄξοντα γένηται, ἴσως ἂν οὐκ ἀπορήσαιμεν κομιδῆς, οἵας δεόμεθα." ἔδοξε καὶ ταῦτα.

„Ἐννοήσατε δ'," ἔφη, „εἰ εἰκὸς καὶ τρέφειν ἀπὸ κοινοῦ, οὓς ἂν καταγάγωμεν, ὅσον ἂν χρόνον ἡμῶν ἕνεκεν μένωσι, καὶ ναῦλον ξυνθέσθαι, ὅπως ὠφελοῦντες καὶ ὠφελῶνται." ἔδοξε καὶ ταῦτα.

„Δοκεῖ τοίνυν μοι," ἔφη, „ἢν ἄρα καὶ ταῦτα ἡμῖν μὴ ἐκπεραίνηται, ὥστε ἀρκεῖν πλοῖα, τὰς ὁδούς, ἃς δυσπόρους ἀκούομεν εἶναι, ταῖς παρὰ θάλατταν οἰκούσαις πόλεσιν ἐντείλασθαι ὁδοποιεῖν· πείσονται γὰρ καὶ διὰ τὸ φοβεῖσθαι καὶ διὰ τὸ βούλεσθαι ἡμῶν ἀπαλλαγῆναι."

Ἐνταῦθα δὲ ἀνέκραγον, ὡς οὐ δέοι ὁδοιπορεῖν. ὁ δέ, ὡς ἔγνω

1. ***τοίνυν***: dakle. — 2. ***ἄγων***: v. str. 1. b. 6. (λαβών). — ***ἂν ἔδει***: v. str. 54. b. 9. — ***ὧν***: τούτων, ἅ; v. str. 4. b. 8. (ὧν). — ***νῦν δ'***: ali ovako. — 3. ***συμπαρασκευάζειν***: pribavljati (zajedno s Hirisofom). — 4. ***αὐτόθεν***: odavde. — ***ἔλθῃ***: Hirisof s lađama. — ***ὑπαρχόντων***: πλοίων, ako ih bude ovdje. — ***ἐν ἀφθονωτέροις***: πλοίοις, na mnogobrojnijim. — 5. ***ἄν***: ἐάν. — ***τοῖς ἐνθάδε***: πλοίοις, ovima ovdje. — 6. ***παραπλέω***: plovim mimo; v. str. 3. b. 11. (βουλευομένους). — 7. ***κατάγοιμεν***: sastavi sa obj. αὐτά; kad bi zatražili dugačke lađe (pa njima hvatali lađe, što prolaze) te dopremali (uhvaćene lađe) ovamo (u luku), skidali kormila (πηδάλια) i ovako ih čuvali. — ***ἕως ἄν***: dogod ne; v. str. 5. b. 9. (πρίν). — 8. ***ἴσως ἄν***: v. str. 12. b. 13. (ἅ). — ***οὐκ ἀπορέω***: imam. — ***κομιδή***: sredstva za vožnju, gen. copiae. — 9. ***δέομαί τινος***: trebam, gen. inopiae.

10. ***εἰ εἰκός***: ἐστίν, nije li pravo. — ***ἀπὸ κοινοῦ***: v. str. 87 b. 20. — ***οὓς ἄν***: momčad, što bi je (s lađama) dopremili (u luku); v. str. 9. b. 4. (ἄν). — 11. ***ὅσον ἄν***: sastavi s τρέφειν; da hranimo, dogod bi. — ***ναῦλον***: vozarina. — ***συντίθεμαι***: uglavljujem. — 12. ***ὠφελέω τινά***: v. str. 4. b. 14. (τούς); da koristeći (nama) i sami beru korist.

13. ***ἐκπεραίνομαι***: izvršujem se, polazim za rukom; v. str. 10. b. 5. (οὕτως). — 14. ***ὥστε***: te bi. — ***ἀρκεῖ***: dosta je. — ***δύσπορος***: neprohodan, rđav. — 15. ***ἐντείλασθαι*** (ἐντέλλω, nalažem): zavisno o δοκεῖ; mislim, da naložimo, neka. — ***ὁδοποιέω τὰς ὁδούς***: uređujem ceste. — 16. ***διὰ τό***: zato, što. — ***ἀπαλλάττομαί τινος***: rješavam se koga, gen. separat.; v. str. 19. b. 12. (κωλύω).

17. ***δέοι***: v. str. 2. b. 4. (ὡς). — ***ὁδοιπορέω***: pješačim. — ***ὡς***: kad.

τὴν ἀφροσύνην αὐτῶν, ἐπεψήφισε μὲν οὐδέν, τὰς δὲ πόλεις ἑκούσας ἔπεισεν ὁδοποιεῖν, λέγων, ὅτι θᾶττον ἀπαλλάξονται, ἢν εὔποροι γένωνται αἱ ὁδοί.

27. Polazak iz Trapezunta i opis svetinje kod Skilunta.

(V. 3., 1.—13.)

Ἐπεὶ δὲ οὔτε Χειρίσοφος ἧκεν οὔτε πλοῖα ἱκανὰ ἦν οὔτε τὰ ἐπιτήδεια ἦν λαμβάνειν ἔτι, ἐδόκει ἀπιτέον εἶναι. καὶ εἰς μὲν τὰ πλοῖα τούς τε ἀσθενοῦντας ἐνεβίβασαν καὶ τοὺς ὑπὲρ τετταράκοντα ἔτη καὶ παῖδας καὶ γυναῖκας καὶ τῶν σκευῶν, ὅσα μὴ ἀνάγκη ἦν ἔχειν. καὶ Φιλήσιον καὶ Σοφαίνετον τοὺς πρεσβυτάτους τῶν στρατηγῶν εἰσβιβάσαντες τούτων ἐκέλευον ἐπιμελεῖσθαι· οἱ δὲ ἄλλοι ἐπορεύοντο· ἡ δὲ ὁδὸς ὡδοποιημένη ἦν. καὶ ἀφικνοῦνται πορευόμενοι εἰς Κερασοῦντα τριταῖοι, πόλιν Ἑλληνίδα ἐπὶ θαλάττῃ, Σινωπέων ἄποικον ἐν τῇ Κολχίδι χώρᾳ. ἐνταῦθα ἔμειναν ἡμέρας δέκα· καὶ ἐξέτασις σὺν τοῖς ὅπλοις ἐγίγνετο καὶ ἀριθμός, καὶ ἐγένοντο ὀκτακισχίλιοι καὶ ἑξακόσιοι. οὗτοι ἐσώθησαν. οἱ δὲ ἄλλοι ἀπώλοντο ὑπό τε τῶν πολεμίων καὶ χιόνος καὶ εἴ τις νόσῳ.

Ἐνταῦθα καὶ διαλαμβάνουσι τὸ ἀπὸ τῶν αἰχμαλώτων ἀργύριον γενόμενον. καὶ τὴν δεκάτην, ἣν τῷ Ἀπόλλωνι ἐξεῖλον καὶ τῇ Ἐφεσίᾳ Ἀρτέμιδι, ἔλαβον οἱ στρατηγοὶ τὸ μέρος ἕκαστος φυλάττειν τοῖς θεοῖς·

— 1. ***ἐπιψηφίζω***: dajem glasovati, dajem stvarati odluku. — ***ἑκών***: svoje volje; v. str. 5. b. 2. — 2. ***ἀπαλλάξονται***: da će (Heleni) otići. — ***εὔπορος***: prohodan, dobar.

4. ***ἱκανός***: dovoljan, dosta. — 5. ***ἦν***: ἐξῆν. — 6. ***ἀσθενέω***: bolestan sam. — ***ἐμβιβάζω***: ukrcavam. — 7. ***τὰ σκεύη***: oruđe, gen. part. zavisan o ὅσα. — ***μή***: jer relativ. rečenica stoji u smislu hipotetske. — 8. ***τούτων***: za bolesne, starije i t. d. — 9. ***πορεύομαι***: idem pješke. — ***ὡδοποιημένη***: v. str. 92. b. 15. — 10. ***τριταῖοι***: treći dan, 13. ožujka g. 400.; v. str. 5. b. 2. (ἑκών). — ***Κερασοῦς***: Kerasunt, danas Kiresün, naseobina sinopska, na zapad od Trapezunta; odande je g. 73. pr. Is. donio Lukul trešnju u Evropu. — 11. ***Σινωπέων***: v. str. 88. b. 15. — ***ἄποικος***: naseljen; πόλις ἄποικος, naseobina. — 12. ***ἐξέτασις***: pregledanje, smotra. — ***ἀριθμός***: brojenje. — 13. ***ἐγένοντο***: bilo je. — 14. ***εἴ τις***: gdjekoji. — ***νόσῳ***: dat. causae, od bolesti.

15. ***διαλαμβάνω***: dijelim. — ***τὸ ἀπὸ — γενόμενον***: novce, što ih je unišlo od (prodaje) zarobljenika. — 16. ***δεκάτη***: desetina. — 17. ***ἔλαβον φυλάττειν τοῖς***: primiše, da čuvaju za. — ***τὸ μέρος ἕκαστος***: svaki svoj dio t. j. dio, što je njega dopao, da čuva.

ἀντὶ δὲ Χειρισόφου Νέων ὁ Ἀσιναῖος ἔλαβε. Ξενοφῶν οὖν τὸ μὲν τοῦ Ἀπόλλωνος ἀνάθημα ποιησάμενος ἀνατίθησιν εἰς τὸν ἐν Δελφοῖς τῶν Ἀθηναίων θησαυρὸν καὶ ἐπέγραψε τό τε αὐτοῦ ὄνομα καὶ τὸ Προξένου, ὃς σὺν Κλεάρχῳ ἀπέθανεν· ξένος γὰρ ἦν αὐτοῦ. τὸ δὲ τῆς Ἀρτέμιδος τῆς Ἐφεσίας, ὅτ᾿ ἀπῄει σὺν Ἀγησιλάῳ ἐκ τῆς Ἀσίας τὴν εἰς Βοιωτοὺς ὁδόν, καταλείπει παρὰ Μεγαβύζῳ τῷ τῆς Ἀρτέμιδος νεωκόρῳ, ὅτι αὐτὸς κινδυνεύσων ἐδόκει ἰέναι, καὶ ἐπέστειλεν, ἢν μὲν αὐτὸς σωθῇ, αὐτῷ ἀποδοῦναι· ἢν δέ τι πάθῃ, ἀναθεῖναι ποιησάμενον τῇ Ἀρτέμιδι, ὅ τι οἴοιτο χαριεῖσθαι τῇ θεῷ.

Ἐπειδὴ δ᾿ ἔφευγεν ὁ Ξενοφῶν, κατοικοῦντος ἤδη αὐτοῦ ἐν Σκιλλοῦντι ὑπὸ τῶν Λακεδαιμονίων οἰκισθέντος ἀφικνεῖται Μεγάβυζος εἰς Ὀλυμπίαν θεωρήσων καὶ ἀποδίδωσι τὴν παρακαταθήκην αὐτῷ. Ξενοφῶν δὲ λαβὼν χωρίον ὠνεῖται τῇ θεῷ, ὅπου ἀνεῖλεν ὁ θεός. ἔτυχε δὲ διαρρέων διὰ τοῦ χωρίου ποταμὸς Σελινοῦς. καὶ ἐν Ἐφέσῳ δὲ παρὰ τὸν τῆς Ἀρτέμιδος νεὼν Σελινοῦς ποταμὸς παραρρεῖ. καὶ ἰχθύες τε ἐν ἀμφοτέροις ἔνεισι καὶ κόγχαι· ἐν δὲ τῷ ἐν Σκιλλοῦντι χωρίῳ καὶ θῆραι πάντων, ὁπόσα ἐστὶν ἀγρευόμενα θηρία. ἐποίησε δὲ καὶ βωμὸν καὶ ναὸν ἀπὸ τοῦ ἱεροῦ ἀργυρίου, καὶ τὸ λοιπὸν δὲ ἀεὶ δεκατεύων τὰ ἐκ τοῦ ἀγροῦ

1. **Ἀσιναῖος**: Asinjanin, iz primorskoga grada Asine u Lakoniji. — 2. **ἀνάθημα ποιησάμενος**: dade izraditi zavjetni dar Apolonu i. — **ἀνατίθησιν εἰς**: položi ga u řiznicu atensku u Delfima; mnoge države helenske imadu po hramovima u Delfima, Olimpiji i drugdje svoje riznice. — 4. **ξένος**: prijatelj. — **αὐτοῦ**: Ξενοφῶντος. — **τὸ δέ**: novac za Artemidu. — 5. **ὅτ᾿**: ὅτε. — **τὴν εἰς**: putem u Beotiju, preko Trakije do Koroneje g. 394. — 6. **Μεγάβυζος**: veliki svećenik Artemidin u Efesu; valjada nije vlastito ime, već samo znači 'čuvar hrama'. — **νεωκόρος**: čuvar hrama. — **ὅτι**: jer. — 7. **κινδυνεύσων ἐδόκει ἰέναι**: mislio je, da ide u pogibao; v. str. 2. b. 5. (ὡς). — **ἐπιστέλλω**: naređujem. — **αὐτός**: Ksenofont. — 8. **ἢν δέ τι πάθῃ**: ako ga što zadesi t. j. ako pogine; eufemizam. — **ἀναθεῖναι**: zavisno o ἐπέστειλεν, neka dâ načiniti za Artemidu, što misli da će —, i neka to prikaže. — 9. **οἴοιτο**: v. str. 30. b. 11. (νικῴη). — **χαρίζομαι**: ugađam.

10. **φεύγω**: izgnan sam. — **κατοικέω**: stanujem; kad je stanovao naseljen od Lakedemonjana. — 12. **θεωρήσων**: da gleda (igre); v. str. 2. b. 5. (ὡς). — **παρακαταθήκη**: povjereno blago. — 13. **λαβών**: τὴν παρακαταθήκην. — **χωρίον**: obj. od ὠνεῖται. — **ἀνεῖλεν**: dopuni ὠνεῖσθαι; proreče, reče. — **ὁ θεός**: Apolon u Delfima. — **ἔτυχε**: v. str. 1. b. 4. — 16. **κόγχη**: školjka. — **τῷ ἐν**: u kraju skiluntskom. — **θῆραι**: εἰσίν, ima lova. — 17. **πάντων, ὁπόσα — θηρία**: πάντων θηρίων, ὁπόσα. — **ἀγρεύω**: lovim; što ih god ljudi love. — **ναός**: νεώς. — 18. **τὸ λοιπόν**: v. str. 50. b. 10. — **δεκατεύω τι**: uzimam desetinu od. — **τὰ ἐκ τοῦ ἀγροῦ ὡραῖα**: ljetina s onoga zemljišta.

ὡραῖα θυσίαν ἐποίει τῇ θεῷ, καὶ πάντες οἱ πολῖται καὶ οἱ πρόσχωροι, ἄνδρες καὶ γυναῖκες, μετεῖχον τῆς ἑορτῆς. παρεῖχε δὲ ἡ θεὸς τοῖς σκηνοῦσιν ἄλφιτα, ἄρτους, οἶνον, τραγήματα, καὶ τῶν θυομένων ἀπὸ τῆς ἱερᾶς νομῆς λάχος, καὶ τῶν θηρευομένων δέ. καὶ γὰρ θήραν ἐποιοῦντο εἰς τὴν ἑορτὴν οἵ τε Ξενοφῶντος παῖδες καὶ οἱ τῶν ἄλλων πολιτῶν, οἱ δὲ βουλόμενοι καὶ ἄνδρες ξυνεθήρων· καὶ ἡλίσκετο τὰ μὲν ἐξ αὐτοῦ τοῦ ἱεροῦ χώρου, τὰ δὲ καὶ ἐκ τῆς Φολόης, σύες καὶ δορκάδες καὶ ἔλαφοι.

Ἔστι δὲ ἡ χώρα, ᾗ ἐκ Λακεδαίμονος εἰς Ὀλυμπίαν πορεύονται, ὡς εἴκοσι στάδιοι ἀπὸ τοῦ ἐν Ὀλυμπίᾳ Διὸς ἱεροῦ. ἔνι δ᾿ ἐν τῷ ἱερῷ χώρῳ καὶ λειμὼν καὶ ὄρη δένδρων μεστά, ἱκανὰ σῦς καὶ αἶγας καὶ βοῦς τρέφειν καὶ ἵππους, ὥστε καὶ τὰ τῶν εἰς τὴν ἑορτὴν ἰόντων ὑποζύγια εὐωχεῖσθαι. περὶ δὲ αὐτὸν τὸν ναὸν ἄλσος ἡμέρων δένδρων ἐφυτεύθη, ὅσα ἐστὶ τρωκτὰ ὡραῖα. ὁ δὲ ναός, ὡς μικρὸς μεγάλῳ, τῷ ἐν Ἐφέσῳ ᾔκασται, καὶ τὸ ξόανον ἔοικεν, ὡς κυπαρίττινον χρυσῷ ὄντι, τῷ ἐν Ἐφέσῳ. καὶ στήλη ἕστηκε παρὰ τὸν ναὸν γράμματα ἔχουσα· ΙΕΡΟΣ Ο ΧΩΡΟΣ ΤΗΣ ΑΡΤΕΜΙΔΟΣ. ΤΟΝ ΕΧΟΝΤΑ ΚΑΙ ΚΑΡΠΟΥΜΕ-

1. **τῇ θεῷ**: Artemidi. — **πρόσχωρος**: susjed. — 2. **μετέχω τινός**: gen. part., imam dio u, dolazim na. — **ἑορτή**: svetkovina. — **τοῖς σκηνοῦσιν** (σκηνέω): gostima. — 3. **ἄλφιτα**: ječmen kruh. — **ἄρτος**: pšeničan kruh. — **τραγήματα**: poslastice t. j. orasi, bademi, jabuke i slično. — **τῶν θυομένων**: zavisno o λάχος (dio). — **ἀπὸ τῆς**: sa svetoga pašnjaka, sastavi sa θυομένων. — 4. **καὶ — δέ**: pa i. — **τὰ θηρευόμενα**: lovina, gen. zavisan o λάχος. — 5. **εἰς**: za. — **παῖδες**: sinovi Diodor i Grilo. — **οἱ δὲ βουλόμενοι καί**: a i ljudi (nesamo mladići), koji su htjeli. — 6. **ξυνθηράω**: lovim zajedno. — **ἡλίσκετο**: ulovilo bi se što u samom —, što opet i u —, i to svinje, srne i jeleni. — 7. **Φολόη**: planina na granici Arkadije i Elide, na sjeveru Olimpije.

9. **ἔστι**: leži. — **χώρα**: mjesto. — 10. **ὡς**: do, neko. — **εἴκοσι στάδιοι**: 3 km; v. str. 26. b. 6. — **τοῦ**: sastavi s ἱεροῦ. — **ἔνι**: ἔνεστι. — 11. **λειμών**: livada. — **μεστός**: pun, s gen. copiae. — **ἱκανός**: vrstan, podoban; gdje ima dosta hrane za. — 12. **ὥστε**: v. str. 3. b. 1. — 13. **εὐωχέομαι**: gostim se; te je bilo dobro i živini onih, koji. — **ἄλσος**: gaj. — **ἥμερα δένδρα**: pitomo drveće, voćke. — 14. **τρωκτά**: plodovi, koji se prijesni jedu; τρωκτὰ ὡραῖα: voće, što se jede poslije ručka; prevedi: plemenitoga drveća sa svakim voćem, što se jede poslije jela. — **ὡς μικρὸς μεγάλῳ**: dopuni ᾔκασται; a hram je sličan efeskomu, koliko već može biti malen velikomu. — 15. **ξόανον**: kip je sličan onomu u Efesu, koliko već drveni od čempresovine zlatnomu. — 16. **στήλη**: stup. — **παρά**: do. — 17. **τὸν ἔχοντα — καταθύειν**: tko ga ima i uživa desetinu, neka; inf. mj. imperativa.

ΝΟΝ ΤΗΝ ΜΕΝ ΔΕΚΑΤΗΝ ΚΑΤΑΘΥΕΙΝ ΕΚΑΣΤΟΥ ΕΤΟΥΣ. ΕΚ ΔΕ ΤΟΥ ΠΕΡΙΤΤΟΥ ΤΟΝ ΝΑΟΝ ΕΠΙΣΚΕΥΑΖΕΙΝ. ΑΝ ΔΕ ΤΙΣ ΜΗ ΠΟΙΗΙ ΤΑΥΤΑ ΤΗΙ ΘΕΩΙ ΜΕΛΗΣΕΙ.

28. Mosinečani i njihovi običaji.

(V. 4., 1.—22., 27.—34.)

Ἐκ Κερασοῦντος δὲ κατὰ θάλατταν μὲν ἐκομίζοντο, οἵπερ καὶ πρόσθεν, οἱ δὲ ἄλλοι κατὰ γῆν ἐπορεύοντο. ἐπεὶ δὲ ἦσαν ἐπὶ τοῖς Μοσσυνοίκων ὁρίοις, πέμπουσιν εἰς αὐτοὺς Τιμησίθεον τὸν Τραπεζούντιον, πρόξενον ὄντα τῶν Μοσσυνοίκων, ἐρωτῶντες, πότερον ὡς διὰ φιλίας ἢ διὰ πολεμίας πορεύσονται τῆς χώρας. οἱ δὲ εἶπον, ὅτι οὐ διήσοιεν· ἐπίστευον γὰρ τοῖς χωρίοις. ἐντεῦθεν λέγει ὁ Τιμησίθεος, ὅτι πολέμιοι τούτοις εἰσὶν οἱ ἐκ τοῦ ἐπέκεινα. καὶ ἐδόκει καλέσαι ἐκείνους, εἰ βούλοιντο ξυμμαχίαν ποιήσασθαι· καὶ πεμφθεὶς ὁ Τιμησίθεος ἧκεν ἄγων τοὺς ἄρχοντας. ἐπεὶ δὲ ἀφίκοντο, συνῆλθον οἵ τε τῶν Μοσσυνοίκων ἄρχοντες καὶ οἱ στρατηγοὶ τῶν Ἑλλήνων· καὶ ἔλεξε Ξενοφῶν, ἡρμήνευε δὲ Τιμησίθεος· „Ὦ ἄνδρες Μοσσύνοικοι, ἡμεῖς βουλόμεθα διασωθῆναι πρὸς τὴν Ἑλλάδα πεζῇ· πλοῖα γὰρ οὐκ ἔχομεν· κωλύουσι δὲ οὗτοι ἡμᾶς, οὓς ἀκούομεν ὑμῖν πολεμίους εἶναι. εἰ οὖν βούλεσθε, ἔξεστιν ὑμῖν ἡμᾶς λαβεῖν ξυμμάχους καὶ τιμωρήσασθαι, εἴ τί ποτε ὑμᾶς οὗτοι ἠδίκησαν, καὶ τὸ λοιπὸν ὑμῶν ὑπηκόους εἶναι τούτους. εἰ δὲ ἡμᾶς ἀφ-

2. **ἐκ τοῦ περιττοῦ**: od suviška. — **ἐπισκευάζειν**: neka popravlja. — **ἄν**: ἐάν. — 3. **μελήσει**: a ono će se pobrinuti božica t. j. neka ga ona kazni. Grci su u starije doba samo velikim pismenima bez naglasa pisali.

4. **ἐκ Κερασοῦντος**: 24. ožujka g. 400.; v. str. 93. b. 10. — **κομίζομαι**: vozim se. — 5. **πρόσθεν**: t. j. bolesni, stariji, žene i djeca. — **Μοσσύνοικοι**: Mosinečani t. j. 'stanari drvenih kula', na zapadu od Trapezunta. — 6. **ὅριον**: granica. — 7. **πρόξενος**: zastupnik; čovjek koga bi druga koja strana država imenovala svojim zastupnikom, nalik na našega konzula, imao bi zato u onoj državi neka osobita prava. — **πότερον — ἤ**: da li — ili. — **ὡς διὰ φιλίας**: v. str. 11. b. 13. — 8. **διήσοιεν** (διίημι, dopuštam prolaz): v. str. 2. b. 4. (ὡς). — 9. **ἐπίστευον τοῖς χωρίοις**: uzdali su se u svoja tvrda mjesta. — **ἐντεῦθεν**: zatim. — 10. **τούτοις**: tim Mosinečanima, koji ih nijesu puštali. — **οἱ ἐκ τοῦ ἐπέκεινα**: oni (Mosinečani) s onu stranu. — **ἐδόκει**: odlučiše. — **εἰ**: ne bi li; v. str. 11. b. 7. — 11. **ἄγων**: v. str. 1. b. 6. (λαβών). — 12. **ἄρχοντες**: poglavice. — 13. **ἑρμηνεύω**: tumač sam. — 14. **διασωθῆναι**: zdravo stići u. — 17. **τιμωρέομαι**: osvećujem se. — **ὑμᾶς**: v. str. 4. b. 14. (τούς). — 18. **τὸ λοιπόν**: v. str. 50. b. 10. — **ὑπήκοος**: pokoran, podanik. — **εἶναι**: zavisno o ἔξεστιν. — **ἀφίημι**: puštam, odnemarujem.

ήσετε, σκέψασθε, πόθεν αὖθις ἂν τοσαύτην δύναμιν λάβοιτε ξύμμαχον.“ πρὸς ταῦτα ἀπεκρίνατο ὁ ἄρχων τῶν Μοσσυνοίκων, ὅτι καὶ βούλοιντο ταῦτα καὶ δέχοιντο τὴν ξυμμαχίαν. „Ἄγετε δή,“ ἔφη ὁ Ξενοφῶν, „τί ἡμῶν δεήσεσθε χρήσασθαι, ἂν ξύμμαχοι ὑμῶν γενώμεθα, καὶ ὑμεῖς τί οἷοί τε ἔσεσθε ἡμῖν ξυμπρᾶξαι περὶ τῆς διόδου;“ οἱ δὲ εἶπον, ὅτι „ἱκανοί ἐσμεν εἰς τὴν χώραν εἰσβάλλειν ἐκ τοῦ ἐπὶ θάτερα τὴν τῶν ὑμῖν τε καὶ ἡμῖν πολεμίων, καὶ δεῦρο ὑμῖν πέμψαι ναῦς τε καὶ ἄνδρας, οἵτινες ὑμῖν ξυμμαχοῦνταί τε καὶ τὴν ὁδὸν ἡγήσονται.“

Ἐπὶ τούτοις πιστὰ δόντες καὶ λαβόντες ᾤχοντο. καὶ ἧκον τῇ ὑστεραίᾳ ἄγοντες τριακόσια πλοῖα μονόξυλα καὶ ἐν ἑκάστῳ τρεῖς ἄνδρας, ὧν οἱ μὲν δύο ἐκβάντες εἰς τάξιν ἔθεντο τὰ ὅπλα, ὁ δὲ εἷς ἐνέμενε. καὶ οἱ μὲν λαβόντες τὰ πλοῖα ἀπέπλευσαν, οἱ δὲ μένοντες ἐξετάξαντο ὧδε. ἔστησαν ἀνὰ ἑκατὸν μάλιστα, ἔχοντες γέρρα πάντες λευκῶν βοῶν δασέα, ᾐκασμένα κιττοῦ πετάλῳ, ἐν δὲ τῇ δεξιᾷ παλτὸν ὡς ἕξπηχυ, ἔμπροσθεν μὲν λόγχην ἔχον, ὄπισθεν δὲ τοῦ ξύλου σφαιροειδές. χιτωνίσκους δὲ ἐνεδεδύκεσαν ὑπὲρ γονάτων, πάχος ὡς λινοῦ στρωματοδέσμου, ἐπὶ τῇ κεφαλῇ δὲ κράνη σκύτινα, οἷάπερ τὰ Παφλαγονικά, κρωβύλον ἔχοντα κατὰ μέσον, ἐγγύτατα τιαροειδῆ· εἶχον δὲ καὶ σαγάρεις σιδηρᾶς. ἐντεῦ-

1. **αὖθις**: opet, drugi put. — **ξύμμαχον**: za saveznicu. — 2. **πρὸς ταῦτα**: nato. — **ὁ ἄρχων**: prva poglavica. — **βούλοιντο**: v. str. 2. b. 4. (ὡς). — 3. **ἄγετε**: dederte. — **τί ἡμῶν**: kakvu ćete pomoć od nas iskati. — 4. **ἄν**: ἐάν; v. str. 2. b. 8. — **οἷοί τε ἔσεσθε**: moći ćete. — 5. **ξυμπράττω**: pomažem. — **δίοδος**: prolaz. — **ἱκανός**: vrstan. — 6. **ἐκ τοῦ ἐπὶ θάτερα** (τὰ ἕτερα): s druge strane. — **τὴν τῶν**: sastavi s τὴν χώραν; naših i vaših neprijatelja. — 7. **δεῦρο**: ovamo. — **ξυμμάχομαί τινι**: pomažem koga u boju. — 8. **τὴν ὁδὸν ἡγήσονται**: pokazivat će put.

9. **ἐπὶ τούτοις**: pod tom pogodbom. — **τῇ ὑστεραίᾳ**: ἡμέρᾳ, sjutradan. — 10. **μονόξυλος**: iz jednoga panja. — 11. **εἰς τάξιν ἔθεντο τὰ ὅπλα**: stadoše u red. — **ἐνέμενε**: ostajaše (u lađi). — 12. **οἱ μέν**: v. str. 3. b. 11. — 13. **ἀνὰ ἑκατὸν μάλιστα**: najviše po stotina. — **γέρρον**: v. str. 24. b. 7. — **βοῶν**: v. str. 87. b. 7. — **δασύς**: gust, kosmat. — 14. **ᾐκασμένος**: nalik na. — **κιττός**: bršljan. — **πέταλον**: list. — **δεξιά**: χείρ. — **παλτόν**: koplje. — **ὡς ἕξπηχυ**: neko 6 lakata (2·88 m) dugo. — **ἔμπροσθεν**: sprijed, gore. -- 15. **λόγχη**: oštrice. — **ὄπισθεν τοῦ ξύλου**: ostrag, dolje na držalju nešto nalik na kuglu. — **χιτωνίσκος**: košuljac. — 16. **ἐνεδεδύκεσαν**: bijahu obukli, imali su na sebi. — **ὑπέρ**: iznad; košuljac nije sezao do koljena. — **πάχος**: ak. obzira, debljinom. — **ὡς λινοῦ**: gen. materiae, debele kao od platna za vreće. — **στρωματόδεσμος**: vreća, u koju se sprema posteljina. — 17. **κράνος**: kaciga. — **σκύτινος**: kožan. — **κρωβύλος**: perjanica. — **ἔχοντα**: sastavi s κράνη. — 18. **κατὰ μέσον**: po srijedi. — **ἐγγύτατα**: gotovo. — **τιαροειδῆ**: κράνη, nalik na tijaru, čalmu. — **σάγαρις**: dvosjekla bojna sjekira. — **ἐντεῦθεν**: zatim.

θεν ἐξῆρχε μὲν αὐτῶν εἷς, οἱ δὲ ἄλλοι ἅπαντες ἐπορεύοντο ᾄδοντες ἐν ῥυθμῷ, καὶ διελθόντες διὰ τῶν τάξεων καὶ διὰ τῶν ὅπλων τῶν Ἑλλήνων ἐπορεύοντο εὐθὺς πρὸς τοὺς πολεμίους ἐπὶ χωρίον, ὃ ἐδόκει ἐπιμαχώτατον εἶναι. ᾠκεῖτο δὲ τοῦτο πρὸ τῆς πόλεως τῆς Μητροπόλεως καλουμένης αὐτοῖς καὶ ἐχούσης τὸ ἀκρότατον τῶν Μοσσυνοίκων. καὶ περὶ τούτου ὁ πόλεμος ἦν· οἱ γὰρ ἀεὶ τοῦτ᾽ ἔχοντες ἐδόκουν ἐγκρατεῖς εἶναι καὶ πάντων Μοσσυνοίκων, καὶ ἔφασαν τούτους οὐ δικαίως ἔχειν τοῦτο, ἀλλὰ κοινὸν ὂν καταλαβόντας πλεονεκτεῖν. εἵποντο δ᾽ αὐτοῖς καὶ τῶν Ἑλλήνων τινές, οὐ ταχθέντες ὑπὸ τῶν στρατηγῶν, ἀλλὰ ἁρπαγῆς ἕνεκεν. οἱ δὲ πολέμιοι προσιόντων τέως μὲν ἡσύχαζον· ἐπεὶ δ᾽ ἐγγὺς ἐγένοντο τοῦ χωρίου, ἐκδραμόντες τρέπονται αὐτούς, καὶ ἀπέκτειναν συχνοὺς τῶν βαρβάρων καὶ τῶν ξυναναβάντων Ἑλλήνων τινάς, καὶ ἐδίωκον, μέχρι οὗ εἶδον τοὺς Ἕλληνας βοηθοῦντας· εἶτα δὲ ἀποτραπόμενοι ᾤχοντο, καὶ ἀποτεμόντες τὰς κεφαλὰς τῶν νεκρῶν ἐπεδείκνυσαν τοῖς Ἕλλησι καὶ τοῖς ἑαυτῶν πολεμίοις, καὶ ἅμα ἐχόρευον νόμῳ τινὶ ᾄδοντες.

Οἱ δὲ Ἕλληνες μάλα ἤχθοντο, ὅτι τούς τε πολεμίους ἐπεποιήκεσαν θρασυτέρους, καὶ ὅτι οἱ ἐξελθόντες Ἕλληνες σὺν αὐτοῖς ἐπεφεύγεσαν μάλα ὄντες συχνοί· ὃ οὔπω πρόσθεν ἐπεποιήκεσαν ἐν τῇ στρατείᾳ. Ξενοφῶν δὲ ξυγκαλέσας τοὺς Ἕλληνας εἶπεν· „Ἄνδρες στρατιῶται, μηδὲν ἀθυμήσητε ἕνεκα τῶν γεγενημένων· ἴστε γάρ, ὅτι καὶ ἀγαθὸν οὐ μεῖον τοῦ κακοῦ γεγένηται. πρῶτον μὲν γὰρ ἐπίστασθε, ὅτι οἱ μέλλοντες ἡμῖν

1. ***ἐξῆρχε***: začne jedan od njih (pjevati). — ***ἐν ῥυθμῷ***: skladno. — 2. ***διὰ τῶν τάξεων***: kroz taborska odjeljenja. — ***διὰ τῶν ὅπλων***: između oklopnika; v. str. 2. b. 1. (ὁπλίτης). — 4. ***ἐπίμαχος***: na koga se može lako navaliti, slab. — ***ᾠκεῖτο***: ležalo je ono (mjesto). — ***πρό***: pred. — 5. ***αὐτοῖς***: ὑπ᾽ αὐτῶν. — ***ἐχούσης τὸ ἀκρότατον τῶν***: i koji (grad) je imao glavnu tvrđavu mosinečku. — 6. ***οἱ γὰρ ἀεὶ — ἔχοντες***: jer tko je kad imao nju, za nj se činilo da. — ***ἐγκρατής τινος***: gospodar komu. — 8. ***ὄν***: premda je bila. — ***καταλαβόντας πλεονεκτεῖν***: uzeli je, te bili jači. — 9. ***ταχθέντες ὑπό***: na zapovijed vojvoda. — ***ἁρπαγή***: grabež, plijen. — 10. ***προσιόντων***: dok su se oni primicali. — ***τέως***: dotle. — ***ἡσυχάζω***: mirujem. — 11. ***τρέπομαι***: tjeram u bijeg. — 12. ***συχνός***: mnogi. — 13. ***μέχρι οὗ***: dok ne. — ***βοηθοῦντας***: v. str. 3. b. 11. (βουλευομένους). — ***ἀποτραπόμενοι ᾤχοντο***: brzo se okrenuše; v. str. 1. b. 4. — 14. ***νεκρός***: mrtvac. — 15. ***χορεύω***: igram. — ***νόμος***: napjev.

16. ***ἄχθομαι***: srdim se. — 17. ***θρασύς***: drzak. — ***αὐτοῖς***: s razbijenim Mosinečanima. — 18. ***μάλα***: sastavi sa συχνοί. — ***ὄντες***: premda ih je bilo. — ***ὅ***: a to. — 19. ***μηδὲν ἀθυμήσητε***: ne klonite; v. str. 52. b. 15. — 20. ***ἴστε***: znajte. — 21. ***τοῦ κακοῦ***: gen comparat. — ***ἐπίστασθε***: znate. — ***οἱ μέλλοντες — ἡγεῖσθαι***: oni, koji hoće da nam pokazuju put.

ἡγεῖσθαι τῷ ὄντι πολέμιοί εἰσιν, οἷσπερ καὶ ἡμᾶς ἀνάγκη· ἔπειτα δὲ καὶ τῶν Ἑλλήνων οἱ ἀμελήσαντες τῆς ξὺν ἡμῖν τάξεως καὶ ἱκανοὶ ἡγησάμενοι εἶναι ξὺν τοῖς βαρβάροις ταὐτὰ πράττειν, ἅπερ ξὺν ἡμῖν, δίκην δεδώκασιν· ὥστε αὖθις ἧττον τῆς ἡμετέρας τάξεως ἀπολείψονται. ἀλλ᾽ ὑμᾶς δεῖ παρασκευάζεσθαι, ὅπως καὶ τοῖς φίλοις οὖσι τῶν βαρβάρων δόξητε κρείττους αὐτῶν εἶναι καὶ τοῖς πολεμίοις δηλώσητε, ὅτι οὐχ ὁμοίοις ἀνδράσι μαχοῦνται νῦν τε καὶ ὅτε τοῖς ἀτάκτοις ἐμάχοντο."

Sjutradan razbiju i natjeraju neprijatelja.

Οἱ δὲ Ἕλληνες διαρπάζοντες τὰ χωρία ηὕρισκον θησαυροὺς ἐν ταῖς οἰκίαις ἄρτων νενημένων πέρυσιν, ὡς ἔφασαν οἱ Μοσσύνοικοι, τὸν δὲ νέον ἔτι σῖτον ξὺν τῇ καλάμῃ ἀποκείμενον· ἦσαν δὲ ζειαὶ αἱ πλεῖσται. καὶ δελφίνων τεμάχη ἐν ἀμφορεῦσιν ηὑρίσκετο τεταριχευμένα καὶ στέαρ ἐν τεύχεσι τῶν δελφίνων, ᾧ ἐχρῶντο οἱ Μοσσύνοικοι, καθάπερ οἱ Ἕλληνες τῷ ἐλαίῳ· κάρυα δὲ ἐπὶ τῶν ἀνακίων ἦν πολλὰ τὰ πλατέα, οὐκ ἔχοντα διαφυὴν οὐδεμίαν. τούτῳ καὶ πλείστῳ σίτῳ ἐχρῶντο ἕψοντες καὶ ἄρτους ὀπτῶντες. οἶνος δὲ ηὑρίσκετο, ὃς ἄκρατος μὲν ὀξὺς ἐφαίνετο εἶναι ὑπὸ τῆς αὐστηρότητος, κερασθεὶς δὲ εὐώδης τε καὶ ἡδύς.

Οἱ μὲν δὴ Ἕλληνες ἀριστήσαντες ἐνταῦθα ἐπορεύοντο εἰς τὸ πρόσω,

1. ***τῷ ὄντι***: uistinu. — ***οἷσπερ***: τούτοις, οἷσπερ. — ***ἡμᾶς***: dopuni πολεμίους εἶναι. — 2. ***οἱ ἀμελήσαντες τῆς***: oni, koji nijesu marili za naše redove; v. str. 10. b. 12. — ***ἱκανοὶ εἶναι***: da mogu isto učiniti zajedno s barbarima. — ***ἡγέομαι***: mislim. — 4. ***ὥστε***: v. str. 4. b. 4. — ***αὖθις***: opet, drugi put. — ***ἀπολείπομαί τινος***: dijelim se od. — 5. ***τοῖς φίλοις***: barbarima, koji su nam prijatelji. — 6. ***αὐτῶν***: gen. comparat., od njih t. j. od barbara. — ***δηλόω***: pokazujem. — 7. ***μάχομαί τινι***: v. str. 4. b. 5. (Τισσαφέρνει). — ***καὶ ὅτε***: kao kad; καί uz 'jednak, isti' znači 'kao' (lat. atque). — ***ἄτακτος***: neuređen.

8. ***θησαυρός***: zaliha. — 9. ***ἄρτων νενημένων*** (νέω, gomilam): zavisno o θησαυρός. — ***πέρυσιν***: od lane. — 10. ***νέον ἔτι σῖτον***: mlado još žito. — ***ξὺν τῇ καλάμῃ ἀποκείμενον***: gdje je spremljeno sa slamom, u klasju; v. str. 3. b. 11. (βουλευομένους). — ***ζειά***: pir. — 11. ***τέμαχος***: komad. — ***ἀμφορεύς***: zemljan vrč s dva uha. — ***ταριχεύω***: mećem u rasol. — ***στέαρ***: mast, sastavi sa δελφίνων. — 12. ***τεῦχος***: posuda. — ***καθάπερ***: kao što. — 13. ***κάρυον***: orah, ovdje 'kesten'. — ***ἀνάκιον***: tavan. — ***πλατύς***: plosnat. — 14. ***διαφυή***: pregradak; kestena još nijesu poznavali u Grčkoj, najprije su ga u Evropi sadili kod tesalskoga grada Kastaneje, po kom se valjada i prozvao. — ***τούτῳ***: njega (kesten) su i najviše upotrebljavali kao hranu. — ***ἕψω***: kuham. — 15. ***ἄρτος***: kruh. — ***ὀπτάω***: pečem. — ***ἄκρατος***: nemiješan, suh. — ***ἐφαίνετο***: v. str. 31. b. 8. — 16. ***ὑπό***: radi. — ***αὐστηρότης***: kiselina, reskoća. — ***εὐώδης***: mirisav.

17. ***ἀριστάω***: doručkujem. — ***ἐνταῦθα***: tada. — ***εἰς τὸ πρόσω***: naprijed, dalje.

*

παραδόντες τὸ χωρίον τοῖς ξυμμαχήσασι τῶν Μοσσυνοίκων. ὁπόσα δὲ καὶ ἄλλα παρῆσαν χωρία τῶν ξὺν τοῖς πολεμίοις ὄντων, τὰ εὐπροσοδώτατα οἱ μὲν ἔλειπον, οἱ δὲ ἑκόντες προσεχώρουν. τὰ δὲ πλεῖστα τοιάδε ἦν τῶν χωρίων· ἀπεῖχον αἱ πόλεις ἀπ᾽ ἀλλήλων στάδια ὀγδοήκοντα, αἱ δὲ πλέον, αἱ δὲ μεῖον· ἀναβοώντων δὲ ἀλλήλων ξυνήκουον εἰς τὴν ἑτέραν ἐκ τῆς ἑτέρας πόλεως· οὕτως ὑψηλή τε καὶ κοίλη ἡ χώρα ἦν. ἐπεὶ δὲ πορευόμενοι ἐν τοῖς φίλοις ἦσαν, ἐπεδείκνυσαν αὐτοῖς παῖδας τῶν εὐδαιμόνων σιτευτούς, τεθραμμένους καρύοις ἑφθοῖς, ἁπαλοὺς καὶ λευκοὺς σφόδρα καὶ οὐ πολλοῦ δέοντας ἴσους τὸ μῆκος καὶ τὸ πλάτος εἶναι, ποικίλους δὲ τὰ νῶτα καὶ τὰ ἔμπροσθεν πάντα ἐστιγμένους ἀνθέμια. λευκοὶ δὲ πάντες οἱ ἄνδρες καὶ αἱ γυναῖκες. τούτους ἔλεγον οἱ στρατευσάμενοι βαρβαρωτάτους διελθεῖν καὶ πλεῖστον τῶν Ἑλληνικῶν νόμων κεχωρισμένους. ἔν τε γὰρ ὄχλῳ ὄντες ἐποίουν, ἅπερ ἂν ἄλλοι ἄνθρωποι ἐν ἐρημίᾳ ποιήσειαν, μόνοι τε ὄντες ὅμοια ἔπραττον, ἅπερ ἂν μετ᾽ ἄλλων ὄντες, διελέγοντό τε αὑτοῖς καὶ ἐγέλων ἐφ᾽ ἑαυτοῖς καὶ ὠρχοῦντο ἐφιστάμενοι, ὅπου τύχοιεν, ὥσπερ ἄλλοις ἐπιδεικνύμενοι.

1. ***τῶν Μοσσυνοίκων***: gen. part.; onim Mosinečanima, koji su im bili saveznici. — 2. ***τῶν ξὺν τοῖς πολεμίοις ὄντων***: gen. pos.; onih, koji su bili uz; prevedi: koliko je još drugih mjesta bilo, pokraj kojih su prolazili a bila uz neprijatelje. — ***τὰ εὐπροσοδώτατα***: dodaj sprijed τούτων; najpristupačnija od njih bi jedni ostavili, a drugi bi se drage volje predali. — 3. ***ἑκόντες***: v. str. 5. b. 2. — ***προσχωρέω***: pristupam, predajem se. — 4. ***ἀπέχω***: daleko sam. — ***στάδια ὀγδοήκοντα***: 12 km; v. str. 26. b. 6. — 5. ***ἀναβοώντων***: kad bi jedni drugima dovikivali; v. str. 25. b. 7. (Κύρου) i str. 3. b. 11. — ***ξυνήκουον***: čuli bi iz jednoga grada u. — 6. ***κοῖλος***: gudurast. — 7. ***ἐν***: među. — ***εὐδαίμων***: bogat. — 8. ***σιτευτός***: ugojen. — ***ἑφθός***: kuhan. — ***ἁπαλός***: nježan. — ***σφόδρα***: jako; sastavi s ἁπαλοὺς καί. - 9. ***οὐ πολλοῦ δέοντας — εἶναι***: te malo nijesu bila jednako dugačka i široka. — ***τὸ μῆκος καὶ τὸ πλάτος***: ak. obzira, duljinom i širinom. — ***ποικίλος***: šaren. — 10. ***τὰ νῶτα καὶ τὰ ἔμπροσθεν πάντα***: ak. obzira, po leđima i po cijeloj prednjoj strani. — ***στίζω***: izbockam, ispišem. — ***ἀνθέμιον***: cvijet; cvjetovima, likovima poput cvijeta; ak. unutrašnjega obj. — ***λευκοί***: dopuni ἦσαν. — 11. ***οἱ στρατευσάμενοι***: koji su bili na vojni (Kirovoj). — 12. ***βάρβαρος***: divlji; da su između naroda, kojima su prošli, najdivljiji. — ***τῶν Ἑλληνικῶν***: gen. separat. — ***νόμος***: običaj. — ***χωρίζω***: rastavljam, u pf. med. razlikujem se. — 13. ***ἐν ὄχλῳ ὄντες***: pred svijetom. — ***ἐν ἐρημίᾳ***: nasamo. — 14. ***μόνοι ὄντες***: nasamo. — ***ἅπερ ἄν***: dopuni ἄνθρωποι πράξειαν. — ***μετ᾽ ἄλλων ὄντες***: pred drugima. — 15. ***αὑτοῖς***: dat. sociativus, sami sa sobom. — ***γελάω ἐπί τινι***: smijem se komu. — ***ὀρχέομαι***: igram. — ***ἐφιστάμενοι, ὅπου τύχοιεν***: gdjegod bi baš stajali. — 16. ***ὥσπερ***: kao da se drugima pokazuju.

29. Ksenofont se brani od tužba vojničkih.

(V. 8., 2.—11.)

Vojska krene zemljom halipskom i tibarenskom i stigne helenskomu gradu Kotiori, u koji provali silom, jer joj nije htio prodavati hrane ni primati bolesnikâ u kuću. Budući da je Kotiora bila naseobina sinopska, dođe poslanstvo iz Sinope, da se zauzme za svoj grad. Vojska se nagodi s poslanstvom, da će morem dalje, ako dobiju toliko lađa, da mogu svi zajedno na put. Ksenofont namisli ostati s vojskom i osnovati naseobinu. Vojnici se tomu protive. Heraklejani pošalju lađe za put. Neki časnici potkapaju Ksenofonta, a on ustane i otkrije bezakonja, što su neki časnici počinili. Vojska zaište, da se povede istraga i krivci kazne. Neke vojvode plate globu. Ksenofonta tuže vojnici, da ih je od obijesti tukao.

Καὶ ὁ Ξενοφῶν ἐκέλευσεν εἰπεῖν τὸν πρῶτον λέξαντα, ποῦ καὶ ἐπλήγη. ὁ δὲ ἀπεκρίνατο· „Ὅπου καὶ ῥίγει ἀπωλλύμεθα καὶ χιὼν πλείστη ἦν.“ ὁ δὲ εἶπεν· „Ἀλλὰ μὴν χειμῶνός γε ὄντος οἵου λέγεις, σίτου δὲ ἐπιλελοιπότος, οἴνου δὲ μηδ᾽ ὀσφραίνεσθαι παρόν, ὑπὸ δὲ πόνων πολλῶν ἀπαγορευόντων, πολεμίων δὲ ἑπομένων, εἰ ἐν τοιούτῳ καιρῷ ὕβριζον, ὁμολογῶ καὶ τῶν ὄνων ὑβριστότερος εἶναι, οἷς φασιν ὑπὸ τῆς ὕβρεως κόπον οὐκ ἐγγίγνεσθαι. ὅμως δὲ καὶ λέξον,“ ἔφη, „ἐκ τίνος ἐπλήγης. πότερον ᾔτουν τί σε καί, ἐπεί μοι οὐκ ἐδίδους, ἔπαιον; ἀλλ᾽ ἀπῄτουν; ἀλλὰ μεθύων ἐπαρῴνησα;“ ἐπεὶ δὲ τούτων οὐδὲν ἔφησεν, ἐπήρετο αὐτόν, εἰ ὁπλιτεύοι. οὐκ ἔφη· πάλιν, εἰ πελτάζοι. οὐδὲ τοῦτ᾽ ἔφη, ἀλλ᾽ ἡμίονον ἐλαύνειν ταχθεὶς ὑπὸ τῶν συσκήνων, ἐλεύθερος ὤν. ἐνταῦθα δὴ ἀναγιγνώσκει αὐτὸν καὶ ἤρετο· „Ἦ σὺ εἶ ὁ τὸν κάμνοντα

1. ***τὸν πρῶτον λέξαντα***: koji se prvi potužio. — ***ποῦ καί***: zavisno o εἰπεῖν, ma gdje. — 2. ***ῥῖγος***: studen, u Armeniji. — 3. ***ἀλλὰ μήν***: ali da. — ***χειμῶνος ὄντος***: ako je bila mećava. — ***οἵου***: τοιούτου, οἷον; v. str. 4. b. 8. (ὧν). — 4. ***ἐπιλείπει μέ τι***: nestaje mi čega. — ***ὀσφραίνομαί τινος***: mirišem što. — ***παρόν*** (πάρειμι): ak. aps., ako se moglo; prevedi: ako vina nije bilo ni mirisati; v. str. 45. b. 19. — 5. ***ἀπαγορεύω***: sustajem. — 6. ***ὑβρίζω***: obijestan sam. — ***ὁμολογέω***: priznajem. — ***ὄνος***: magarac. — 7. ***κόπος***: umor; mislili su, da magarac u svojoj obijesti ne osjeća umora. — ***ὅμως δέ***: ali ipak. — ***ἐκ τίνος***: zašto. — 8. ***πότερον***: li. — ***αἰτέω τινά τι***: v. str. 5. b. 5. — ***παίω***: tučem. — ***ἀλλ᾽***: ili. — 9. ***ἀπαιτέω***: tražim natrag (da mi se vrati dug). — ***μεθύω***: pjan sam. — ***παροινέω***: pjan sam, zlostavljam. — 10. ***εἰ***: da li. — ***ὁπλιτεύω***: oklopnik sam; v. str. 11. b. 7. (εἴη). — ***πάλιν***: ἐπήρετο. — ***πελτάζω***: peltast sam; v. str. 23. b. 11. — 11. ***ἡμίονος***: mazga. — ***ταχθείς***: po odredbi. — ***σύσκηνος***: drug. — ***ὤν***: premda je. — ***ἐνταῦθα δή***: sad napokon. — 12. ***ἦ***: zar. — ***ὁ κάμνων***: bolesnik.

ἀγαγών;“ „Ναὶ μὰ Δί’,“ ἔφη· „σὺ γὰρ ἠνάγκαζες· τὰ δὲ τῶν ἐμῶν συσκήνων σκεύη διέρριψας.“ „Ἀλλ’ ἡ μὲν διάρριψις,“ ἔφη ὁ Ξενοφῶν, „τοιαύτη τις ἐγένετο. διέδωκα ἄλλοις ἄγειν καὶ ἐκέλευσα πρὸς ἐμὲ ἀπαγαγεῖν, καὶ ἀπολαβὼν ἅπαντα σῶα ἀπέδωκά σοι, ἐπειδὴ καὶ σὺ ἐμοὶ ἀπέδειξας τὸν ἄνδρα. οἷον δὲ τὸ πρᾶγμα ἐγένετο, ἀκούσατε,“ ἔφη· „καὶ γὰρ ἄξιον. ἀνὴρ κατελείπετο διὰ τὸ μηκέτι δύνασθαι πορεύεσθαι. καὶ ἐγὼ τὸν μὲν ἄνδρα τοσοῦτον ἐγίγνωσκον, ὅτι εἷς ἡμῶν εἴη· ἠνάγκασα δὲ σὲ τοῦτον ἄγειν, ὡς μὴ ἀπόλοιτο· καὶ γάρ, ὡς ἐγὼ οἶμαι, πολέμιοι ἡμῖν ἐφείποντο.“ συνέφη τοῦτο ὁ ἄνθρωπος. „Οὐκοῦν,“ ἔφη ὁ Ξενοφῶν, „ἐπεὶ προὔπεμψά σε, καταλαμβάνω αὖθις σὺν τοῖς ὀπισθοφύλαξι προσιὼν βόθρον ὀρύττοντα ὡς κατορύξοντα τὸν ἄνθρωπον, καὶ ἐπιστὰς ἐπῄνουν σε. ἐπεὶ δὲ παρεστηκότων ἡμῶν συνέκαμψε τὸ σκέλος ἀνήρ, ἀνέκραγον οἱ παρόντες, ὅτι ζῇ ἀνήρ, σὺ δ’ εἶπας· „„Ὁπόσα γε βούλεται· ὡς ἔγωγε αὐτὸν οὐκ ἄξω.““ ἐνταῦθα ἔπαισά σε· ἀληθῆ λέγεις· ἔδοξας γάρ μοι εἰδότι ἐοικέναι, ὅτι ἔζη. „„Τί οὖν;““ ἔφη, „„ἧττόν τι ἀπέθανεν, ἐπεὶ ἐγώ σοι ἀπέδειξα αὐτόν;““ „Καὶ γὰρ ἡμεῖς,“ ἔφη ὁ Ξενοφῶν, „πάντες ἀποθανούμεθα· τούτου οὖν ἕνεκα ζῶντας ἡμᾶς δεῖ κατορυχθῆναι;“ τοῦτον μὲν ἀνέκραγον, ὡς ὀλίγας παίσειεν.

Kad je Ksenofont pozivao i druge, da kažu, zašto ih je tukao, ni jedan ne pisnu.

1. ***ναὶ μὰ Δί’***: dă, Zeusa mi. — 2. ***τὰ σκεύη***: prtljaga. — ***διαρρίπτω***: razbacujem. — ***διάρριψις***: razbacivanje; razbacah nekako ovako. — 3. ***ἄγειν***: da nose. — ***πρὸς ἐμὲ ἀπαγαγεῖν***: da predadu meni. — 4. ***ἀπολαβών***: primivši (od njih). — ***ἅπαντα***: sastavi s ἀπέδωκα. — ***σῶος*** (σῶς): zdrav, čitav. — 5. ***ἀπέδειξας***: predao si. — ***οἷον***: kako. — 6. ***ἄξιον***: ἐστὶν ἀκοῦσαι. — ***καταλείπομαι***: zaostajem. — ***διὰ τὸ — δύνασθαι***: jer nije mogao. — 7. ***τοσοῦτον***: samo toliko. — ***εἴη***: v. str. 2. b. 4. (ὡς). — 9. ***σύμφημι***: potvrđujem. — ***οὐκοῦν***: dakle, u pitanju 'zar'. — 10. ***ὀπισθοφύλακες***: v. str. 58. b. 11. — 11. ***βόθρος***: jama. — ***ὀρύττοντα***: v. str. 3. b. 11. (βουλευομένους). — ***ὡς***: v. str. 2. b. 5. — ***ἐπαινέω***: hvalim; Ksenofont je mislio, da momak vrši svetu dužnost sahranjujući mrtva. — 12. ***συγκάμπτω***: savijam, kvrčim. — ***σκέλος***: noga. — ***ἀνήρ***: ὁ ἀνήρ. — 13. ***ὁπόσα***: dopuni ζῆν, koliko ga volja t. j. briga me. — ***ὡς***: jer, ma. — 15. ***εἰδότι ἐοικέναι***: da si nalik na čovjeka, koji zna; da si ti, sva je prilika, znao. — ***τί οὖν***: zar je nekud manje umr'o, nije li svejedno umr'o. — 18. ***τοῦτον***: v. str. 20. b. 12. (τήν κρίσιν). — ***ὀλίγας***: πληγάς, unutrašnji obj. — ***παίσειεν***: v. str. 2. b. 4. (ὡς).

30. Igranje u oružju.

(VI. 1., 5.—13.)

Paflagonski poglavica Korila pošlje Helenima poslanike s darovima i moli, da mu više ne plijene zemlje. Heleni prirede gozbu na čast poslanstvu.

Ἐπεὶ δὲ σπονδαί τε ἐγένοντο καὶ ἐπαιάνισαν, ἀνέστησαν πρῶτον μὲν Θρᾷκες καὶ πρὸς αὐλὸν ὠρχήσαντο σὺν τοῖς ὅπλοις καὶ ἥλλοντο ὑψηλά τε καὶ κούφως καὶ ταῖς μαχαίραις ἐχρῶντο· τέλος δὲ ὁ ἕτερος τὸν ἕτερον παίει, ὡς πᾶσιν ἐδόκει· ὁ δ’ ἔπεσε τεχνικῶς πως. καὶ ἀνέκραγον οἱ Παφλαγόνες. καὶ ὁ μὲν σκυλεύσας τὰ ὅπλα τοῦ ἑτέρου ἐξῄει ᾄδων τὸν Σιτάλκαν· ἄλλοι δὲ τῶν Θρᾳκῶν τὸν ἕτερον ἐξέφερον ὡς τεθνηκότα· ἦν δὲ οὐδὲν πεπονθώς. μετὰ τοῦτο Αἰνιᾶνες καὶ Μάγνητες ἀνέστησαν, οἳ ὠρχοῦντο τὴν καρπαίαν καλουμένην ἐν τοῖς ὅπλοις. ὁ δὲ τρόπος τῆς ὀρχήσεως ἦν· ὁ μὲν παραθέμενος τὰ ὅπλα σπείρει καὶ ζευγηλατεῖ, πυκνὰ δὲ στρεφόμενος ὡς φοβούμενος, λῃστὴς δὲ προσέρχεται· ὁ δ’, ἐπειδὰν προΐδηται, ἀπαντᾷ ἁρπάσας τὰ ὅπλα καὶ μάχεται πρὸ τοῦ ζεύγους· καὶ οὗτοι ταῦτ’ ἐποίουν ἐν ῥυθμῷ πρὸς τὸν αὐλόν· καὶ τέλος ὁ λῃστὴς δήσας τὸν ἄνδρα καὶ τὸ ζεῦγος ἀπάγει· ἐνίοτε δὲ καὶ ὁ ζευγηλάτης τὸν λῃστήν· εἶτα παρὰ τοὺς βοῦς ζεύξας ὀπίσω τὼ χεῖρε δεδεμένον ἐλαύνει.

1. ***σπονδή***: žrtva ljevanica; poslije gozbe se lije žrtva dobromu duhu i pjeva pejan. — 2. ***πρός***: uz. — ***αὐλός***: svirala. — ***ὠρχήσαντο***: počeše igrati. — ***ἅλλομαι***: skačem. — 3. ***ὑψηλά***: visoko; v. str. 8. b. 11. (τά). — ***κούφως***: lako. — ***μάχαιρα***: kratak zavinut mač. — ***τέλος***: adverb. ak., napokon. — ***ὁ ἕτερος τόν***: jedan drugoga. — 4. ***παίω***: udaram. — ***τεχνικῶς πως***: nekako vješto. — 5. ***σκυλεύω***: plijenim, skidam odoru (s mrtva). — 6. ***Σιτάλκαν***: Sitalku; valjada je bojna pjesma, što se prozvala po nekom kralju tračkom. — 7. ***Αἰνιᾶνες***: Enijanci u Tesaliji podno Ete. — ***Μάγνητες***: Magnešani u Tesaliji. — 8. ***καρπαίαν*** (καρπός, plod): dopuni ὄρχησιν; ratarka. — 9. ***ὁ μέν***: jedan. — ***ζευγηλατέω***: gonim spregu, orem. — 10. ***πυκνά***: v. str. 8. b. 11. (τὰ ἄλλα), često puta. — ***στρέφομαι***: okrećem se, obazirem se. — ***ὡς***: kao da. — ***λῃστής***: razbojnik. — 11. ***ὁ δ’***: a on (ratar). — ***προΐδηται***: v. str. 5. b. 9. — ***ἀπαντάω***: potečem ususret. — ***ἁρπάσας***: pograbivši. — ***πρό***: za. — 12. ***ζεῦγος***: jaram, sprega. — ***ἐν ῥυθμῷ***: skladno. — 13. ***δέω***: vežem. — ***καί***: također; ne odvede samo čovjeka nego i spregu. — ***ἐνίοτε***: katkad. — ***ζευγηλάτης***: gončin, orač. — 14. ***παρά***: do. — ***ζεύξας***: τὸν λῃστήν, upregavši. — ***ὀπίσω***: sastavi sa δεδεμένον (λῃστήν). — ***τὼ χεῖρε***: ak. obzira, ruku ostrag svezanih.

Μετὰ τοῦτο Μυσὸς εἰσῆλθεν ἐν ἑκατέρᾳ τῇ χειρὶ ἔχων πέλτην, καὶ τοτὲ μὲν ὡς δύο ἀντιταττομένων μιμούμενος ὠρχεῖτο, τοτὲ δὲ ὡς πρὸς ἕνα ἐχρῆτο ταῖς πέλταις, τοτὲ δ᾽ ἐδινεῖτο καὶ ἐξεκυβίστα ἔχων τὰς πέλτας, ὥστε ὄψιν καλὴν φαίνεσθαι. τέλος δὲ τὸ περσικὸν ὠρχεῖτο κρούων τὰς πέλτας, καὶ ὤκλαζε καὶ ἐξανίστατο· καὶ ταῦτα πάντα ἐν ῥυθμῷ ἐποίει πρὸς τὸν αὐλόν. ἐπὶ δὲ τούτῳ οἱ Μαντινεῖς καὶ ἄλλοι τινὲς τῶν Ἀρκάδων ἀναστάντες ἐξοπλισάμενοι, ὡς ἐδύναντο κάλλιστα, ᾖσάν τε ἐν ῥυθμῷ πρὸς τὸν ἐνόπλιον ῥυθμὸν αὐλούμενοι καὶ ἐπαιάνισαν καὶ ὠρχήσαντο, ὥσπερ ἐν ταῖς πρὸς τοὺς θεοὺς προσόδοις. ὁρῶντες δὲ οἱ Παφλαγόνες δεινὰ ἐποιοῦντο πάσας τὰς ὀρχήσεις ἐν ὅπλοις εἶναι. ἐπὶ τούτοις ὁρῶν ὁ Μυσὸς ἐκπεπληγμένους αὐτούς, πείσας τῶν Ἀρκάδων τινὰ πεπαμένον ὀρχηστρίδα εἰσάγει σκευάσας, ὡς ἐδύνατο κάλλιστα, καὶ ἀσπίδα δοὺς κούφην αὐτῇ. ἡ δὲ ὠρχήσατο πυρρίχην ἐλαφρῶς. ἐνταῦθα κρότος ἦν πολύς, καὶ οἱ Παφλαγόνες ἤροντο, εἰ καὶ γυναῖκες συνεμάχοντο αὐτοῖς. οἱ δ᾽ ἔλεγον, ὅτι αὗται καὶ αἱ τρεψάμεναι εἶεν βασιλέα ἐκ τοῦ στρατοπέδου. τῇ μὲν νυκτὶ ταύτῃ τοῦτο τὸ τέλος ἐγένετο.

1. **ἔχων**: v. str. 1. b. 6. (λαβών). — **πέλτη**: v. str. 23. b. 11. — 2. **τοτὲ μὲν — τοτὲ δέ**: sad — sad. — **ὡς — μιμούμενος**: čineći se, kao da dvojica idu na njega. — **ὡς πρός**: kao protiv. — 3. **δινέομαι**: vrtim se. — **ἐκκυβιστάω**: prekobacujem se. — 4. **ὥστε**: v. str. 3. b. 1. — **ὄψις**: pogled. — **τὸ περσικόν**: ὄρχημα, unutrašnji obj., na perzijsku. — 5. **κρούων τάς**: udarajući štitom o štit. — **ὀκλάζω**: čučnem; prevedi: čučnuo bi. — 6. **ἐπὶ τούτῳ**: poslije njega. — **Μαντινεύς**: Mantinejanin, iz Mantineje u Arkadiji. — 8. **πρὸς τὸν — ῥυθμόν**: po taktu plesa u oružju. — **αὐλούμενοι**: praćeni sviralom. — 9. **ἐν ταῖς πρός**: kod ophoda do kipova božjih, k hramovima. — 10. **δεινὰ ἐποιοῦντο**: držali su za nešto vanredno, što su. — **ἐπὶ τούτοις**: sastavi s ἐκπεπληγμένους, stoga. — 11. **πείσας**: namolivši nekoga, koji je imao (πέπαμαι, imam); s dopuštenjem nekoga, koji. — 12. **ὀρχηστρίς**: plesačica. — **εἰσάγει σκευάσας**: obj. ὀρχηστρίδα; odjene je, dade joj štit i dovede. — 13. **κοῦφος**: lak. — **πυρρίχη**: junačka igra. — **ἐλαφρῶς**: brzo. — 14. **κρότος**: pljeskanje. — **εἰ**: da li. — 15. **αὗται καί**: da su baš one natjerale u bijeg. To je šala; misli se na zgodu, kad je Artakserkso plijenio tabor Kirov, a vojnici uhvatili neku Milećanku; ona se njima otela i u tabor helenski utekla. Heleni, koji su bili na straži, obrane nju i sve, koji su se njima zatekli. Perzijance, koji su u njihov tabor provalili, istjeraju. — **εἶεν**: v. str. 2. b. 4. (ὡς).

31. Provala u Bizant.

(VII. 1., 12.—21.)

Istom 18. svibnja g. 400. krenu iz Kotiore i sjutradan stignu u Sinopu. Hirisof se vrati s jednom troveslarkom i kaže vojsci, da će ih spartanski admiral Anaksibije uzeti u službu. Vojska hoće da izabere za glavnoga zapovjednika Ksenofonta, ali kad on odbije, izaberu Hirisofa. Otplove u Herakleju. Tu se pobune, skinu Hirisofa s časti glavnoga zapovjednika i pocijepaju se na troje: Arkađani i Ahejci krenu prvi morem, za njima Hirisof — bio je već bolestan — duž mora pješke i Ksenofont morem. Arkađani i Ahejci dođu u Kalpu blizu Bospora i uzmu po okolici plijeniti. Tračani (u Aziji) ih potuku i, što ih je ostalo, opkole na nekom brežuljku. Izbavi ih Ksenofont. U Kalpi se sva vojska opet sjedini i odluči ne cijepati se više. Hirisof umre od groznice, a vojska krene kopnom u Hrisipol na Bosporu. Satrap Farnabaz, da mu Heleni ne bi harali zemlje, skloni obećanjima Anaksibija, neka vojsci ponudi, da će je (Anaksibije) uzeti u službu, i tako je gleda iz Azije domamiti u Bizant. Anaksibije to učini. Vojska prijeđe početkom listopada u Bizant, ali joj Anaksibije ne da plaće, već naredi, da izide iz grada.

Ἐντεῦθεν ἐξῇσαν οἵ τε στρατηγοὶ πρῶτοι καὶ οἱ ἄλλοι. καὶ ἄρδην πάντες πλὴν ὀλίγων ἔξω ἦσαν, καὶ Ἐτεόνικος εἱστήκει παρὰ τὰς πύλας, ὡς, ὁπότε ἔξω γένοιντο πάντες, συγκλείσων τὰς πύλας καὶ τὸν μοχλὸν ἐμβαλῶν. ὁ δὲ Ἀναξίβιος συγκαλέσας τοὺς στρατηγοὺς καὶ τοὺς λοχαγοὺς ἔλεγεν· „Τὰ μὲν ἐπιτήδεια," ἔφη, „λαμβάνετε ἐκ τῶν Θρᾳκίων κωμῶν· εἰσὶ δὲ αὐτόθι πολλαὶ κριθαὶ καὶ πυροὶ καὶ τἆλλα ἐπιτήδεια· λαβόντες δὲ πορεύεσθε εἰς Χερρόνησον, ἐκεῖ δὲ Κυνίσκος ὑμῖν μισθοδοτήσει." ἐπακούσαντες δέ τινες τῶν στρατιωτῶν ταῦτα, ἢ καὶ τῶν λοχαγῶν τις διαγγέλλει εἰς τὸ στράτευμα. καὶ οἱ μὲν στρατηγοὶ ἐπυνθάνοντο περὶ τοῦ Σεύθου, πότερα πολέμιος εἴη ἢ φίλος, καὶ πότερα διὰ

1. **ἄρδην πάντες**: sasvim svi, svi koliki. — 2. **Ἐτεόνικος**: podzapovjednik Anaksibijev. — **παρά**: v. str. 9. b. 13. — **πύλαι**: vrata. — 3. **συγκλείω**: zatvoram; v. str. 2. b. 5. (ὡς). — **μοχλός**: prijevornica. — 5. **λαμβάνετε**: uzimajte. — 6. **αὐτόθι**: ondje. — **κριθαί**: ječam. — **πυροί**: pšenica. — 7. **Κυνίσκος**: Kinisko, vojvoda spartanski u Heronesu. — **μισθοδοτέω**: dajem plaću. — 8. **ἢ καί**: ili možda. — **λοχαγός**: v. str. 3. b. 7. — 9. **διαγγέλλει εἰς**: pripada i onomu ἐπακούσαντες: razglasi po. — **πυνθάνομαι περί**: pitam za. — 10. **Σεύθης**: Seut, kralj trački; on je poručio Ksenofontu, neka gleda, da vojska stupi u njegovu službu; uzeli su mu kraljevstvo očevo, pa ga je htio vojskom helenskom osvojiti. — **πότερα ἤ**: da li — ili. — **εἴη**: v. str. 11. b. 7. (εἴη) — **διά**: v. str. 11. b. 13.

τοῦ ἱεροῦ ὄρους δέοι πορεύεσθαι ἢ κύκλῳ διὰ μέσης τῆς Θρᾴκης. ἐν ᾧ δὲ ταῦτα διελέγοντο, οἱ στρατιῶται ἀναρπάσαντες τὰ ὅπλα θέουσι δρόμῳ πρὸς τὰς πύλας, ὡς πάλιν εἰς τὸ τεῖχος εἰσιόντες. ὁ δὲ Ἐτεόνικος καὶ οἱ σὺν αὐτῷ, ὡς εἶδον προσθέοντας τοὺς ὁπλίτας, συγκλείουσι τὰς πύλας καὶ τὸν μοχλὸν ἐμβάλλουσιν. οἱ δὲ στρατιῶται ἔκοπτον τὰς πύλας καὶ ἔλεγον, ὅτι ἀδικώτατα πάσχοιεν ἐκβαλλόμενοι εἰς τοὺς πολεμίους· κατασχίσειν τε τὰς πύλας ἔφασαν, εἰ μὴ ἑκόντες ἀνοίξουσιν. ἄλλοι δὲ ἔθεον ἐπὶ θάλατταν καὶ παρὰ τὴν χηλὴν τὸ τεῖχος ὑπερβαίνουσιν εἰς τὴν πόλιν, ἄλλοι δέ, οἳ ἔτι ἐτύγχανον ἔνδον ὄντες τῶν στρατιωτῶν, ὡς ὁρῶσι τὰ ἐπὶ ταῖς πύλαις πράγματα, διακόπτοντες ταῖς ἀξίναις τὰ κλεῖθρα ἀναπεταννύασι τὰς πύλας, οἱ δ' εἰσπίπτουσιν.

Ὁ δὲ Ξενοφῶν, ὡς εἶδε τὰ γιγνόμενα, δείσας, μὴ ἐφ' ἁρπαγὴν τράποιτο τὸ στράτευμα καὶ ἀνήκεστα κακὰ γένοιτο τῇ πόλει καὶ ἑαυτῷ καὶ τοῖς στρατιώταις, ἔθει καὶ συνεισπίπτει εἴσω τῶν πυλῶν σὺν τῷ ὄχλῳ. οἱ δὲ Βυζάντιοι, ὡς εἶδον τὸ στράτευμα βίᾳ εἰσπῖπτον, φεύγουσιν ἐκ τῆς ἀγορᾶς, οἱ μὲν εἰς τὰ πλοῖα, οἱ δὲ οἴκαδε, ὅσοι δὲ ἔνδον ἐτύγχανον ὄντες, ἔξω, οἱ δὲ καθεῖλκον τὰς τριήρεις, ὡς ἐν ταῖς τριήρεσι σῴζοιντο, πάντες δὲ ᾤοντο ἀπολωλέναι, ὡς ἑαλωκυίας τῆς πόλεως. ὁ δὲ Ἐτεόνικος εἰς τὴν ἄκραν ἀποφεύγει. ὁ δὲ Ἀναξίβιος καταδραμὼν ἐπὶ θάλατταν ἐν ἁλιευτικῷ πλοίῳ περιέπλει εἰς τὴν ἀκρόπολιν, καὶ εὐθὺς

1. **τὸ ἱερὸν ὄρος**: između Perinta i Sesta, danas Tekir-Dagh. — **κύκλῳ**: naokolo. — **μέσης**: v. str. 7. b. 4. (πρό). — **ἐν ᾧ**: dok. — 3. **εἰσιόντες**: v. str. 2. b. 5. (ὡς). — 4. **ὡς**: čim. — 5. **κόπτω**: lupam na. — 6. **ἀδικώτατα**: najveća nepravda. — **πάσχοιεν**: v. str. 2. b. 4. (ὡς). — **ἐκβαλλόμενοι**: tim, što ih gone. — 7. **κατασχίζω**: razbijam. — **ἑκόντες**: drage volje; v. str. 5. b. 2. — **ἀνοίγνυμι**: otvoram. — 8. **ἐπί**: k. — **παρὰ τὴν χήλην**: uz kameni nasip, zapravo 'papak'; to je kamenje odozdo čuvalo zid gradski od valova. — **τὸ τεῖχος**: sastavi s ὑπερβαίνουσιν. — 9. **ἐτύγχανον**: v. str. 1. b. 4. — **ἔνδον**: unutra. — 10. **ὡς**: čim. — **τὰ πράγματα**: što se događa. — **ἀξίνη**: sjekira; imaju ih u prtljazi. — 11. **κλεῖθρον**: ključanica, prijevornica. — **ἀναπετάννυμι**: otvoram. — **οἱ δ'**: a oni (izvana).

12. **μή**: v. str. 10. b. 10. (καί). — **ἁρπαγή**: otimanje, grabež. — 13. **τρέπομαι ἐπί**: dajem se na. — **ἀνήκεστος**: neizlječiv, grozan. — 14. **εἴσω τῶν**: unutar, na vrata. — 15. **ὄχλος**: rulja. — **εἰσπίπτω**: provaljujem. — 16. **οἱ μέν**: v. str. 3. b. 11. — 17. **καθέλκω**: vučem (u more). — **τριήρης**: v. str. 12. b. 13. — **ὡς**: da. — 18. **ὡς ἑαλωκυίας**: kao da je zauzet. — 19. **ἄκρα**: ἀκρόπολις, tvrđava. — 20. **ἁλιευτικός**: ribarski; nije mogao po suhu, jer su vojnici bili u gradu.

μεταπέμπεται ἐκ Καλχηδόνος φρουρούς· οὐ γὰρ ἱκανοὶ ἐδόκουν εἶναι οἱ ἐν τῇ ἀκροπόλει σχεῖν τοὺς ἄνδρας.

Οἱ δὲ στρατιῶται ὡς εἶδον Ξενοφῶντα, προσπίπτουσιν πολλοὶ αὐτῷ καὶ λέγουσι· „Νῦν σοι ἔξεστιν, ὦ Ξενοφῶν, ἀνδρὶ γενέσθαι. ἔχεις πόλιν, ἔχεις τριήρεις, ἔχεις χρήματα, ἔχεις ἄνδρας τοσούτους. νῦν ἄν, εἰ βούλοιο, σύ τε ἡμᾶς ὀνήσαις καὶ ἡμεῖς σὲ μέγαν ποιήσαιμεν."

Ksenofont ih miri i veli, neka imadu na pameti, da je Sparta gospodarica svih Helena i da su im Tisaferno i svi barbari duž mora neprijatelji. Vojnici se primire. Ksenofont se oprosti s vojskom. Anaksibija zamijeni Pol u zapovjedništvu nad brodovljem, a za harmosta dođe u Bizant Aristarh, koji zateče u gradu do 400 vojnika i proda ih po naputku Anaksibijevu. Anaksibije krene s Ksenofontom u Parij (u Aziji na Helespontu) i poruči Farnabazu, da mu dâ, što mu je obećao, ali on se — ta Anaksibije nije više bio admiral — ogluši i stane se dogovarati s Aristarhom. Sad kaže Anaksibije Ksenofontu, neka se žuri k vojsci, koja se počela raspadati, i neka je što brže prevede u Aziju. Vojska s veseljem dočeka Ksenofonta. Aristarh ne će da poda vojsci lađa, što više — on se grozi, da će svakoga pogubiti, koga zateče na moru.

32. Gozba kod Seuta.

(VII. 3., 21.—34.)

Trački kralj Seut želi osvojiti kraljevstvo, što su mu neprijatelji oteli. Zato moli Ksenofonta, neka nagovori vojsku, da prijeđe k njemu u službu. Vojska prihvati tu ponudu negdje mjeseca prosinca g. 400., a Seut pozove vojvode i satnike na gozbu.

Ἐπεὶ δὲ εἰσῆλθον ἐπὶ τὸ δεῖπνον τῶν τε Θρᾳκῶν οἱ κράτιστοι τῶν παρόντων καὶ οἱ στρατηγοὶ καὶ οἱ λοχαγοὶ τῶν Ἑλλήνων καί, εἴ τις πρεσβεία παρῆν ἀπὸ πόλεως, τὸ δεῖπνον μὲν ἦν καθημένοις κύκλῳ·

1. **μεταπέμπομαι**: pozivam. — **Καλχηδών**: Kalhedon, danas Kadi-Köi, u Aziji nasuprot Bizantu. — **φρουροί**: posada. — **ἱκανός**: dosta jak. — 2. **σχεῖν**: odoljeti.

3. **προσπίπτω τινί**: pritrčim komu. — 4. **ἀνδρί γενέσθαι**: pokazati se čovjekom; v. str. 9. b. 1. (προδόντα). — 6. **ἡμᾶς**: v. str. 4. b. 14. (τοός). — **ὀνήσαις**: v. str. 12. b. 13. (ἄ).

7. **δεῖπνον**: ručak, gozba. — **τῶν**: najugledniji Tračani, što ih je ondje bilo. — 8. **λοχαγός**: v. str. 3. b. 7. — 9. **πρεσβεία**: poslanstvo. — **καθημένοις**: a gozba je za njih bila tako priređena, da su sjedjeli; u Helena je bio običaj ležati za stolom.

ἔπειτα δὲ τρίποδες εἰσηνέχθησαν πᾶσιν· οὗτοι δ' ὅσον εἴκοσιν ἦσαν κρεῶν μεστοὶ νενεμημένων, καὶ ἄρτοι ζυμῖται μεγάλοι προσπεπερονημένοι ἦσαν πρὸς τοῖς κρέασι. μάλιστα δ' αἱ τράπεζαι κατὰ τοὺς ξένους ἀεὶ ἐτίθεντο· νόμος γὰρ ἦν — καὶ πρῶτος τοῦτο ἐποίει Σεύθης, καὶ ἀνελόμενος τοὺς ἑαυτῷ παρακειμένους ἄρτους διέκλα κατὰ μικρὸν καὶ ἐρρίπτει, οἷς αὐτῷ ἐδόκει, καὶ τὰ κρέα ὡσαύτως, ὅσον μόνον γεύσασθαι ἑαυτῷ καταλιπών. καὶ οἱ ἄλλοι δὲ κατὰ ταὐτὰ ἐποίουν, καθ' οὓς αἱ τράπεζαι ἔκειντο. Ἀρκὰς δέ τις, Ἀρύστας ὄνομα, φαγεῖν δεινός, τὸ μὲν διαρριπτεῖν εἴα χαίρειν, λαβὼν δὲ εἰς τὴν χεῖρα ὅσον τριχοίνικον ἄρτον καὶ κρέα θέμενος ἐπὶ τὰ γόνατα ἐδείπνει. κέρατα δὲ οἴνου περιέφερον, καὶ πάντες ἐδέχοντο· ὁ δ' Ἀρύστας, ἐπεὶ παρ' αὐτὸν φέρων τὸ κέρας ὁ οἰνοχόος ἧκεν, εἶπεν ἰδὼν τὸν Ξενοφῶντα οὐκέτι δειπνοῦντα· „Ἐκείνῳ," ἔφη, „δός· σχολάζει γὰρ ἤδη, ἐγὼ δὲ οὐδέπω." ἀκούσας Σεύθης τὴν φωνὴν ἠρώτα τὸν οἰνοχόον, τί λέγει. ὁ δὲ οἰνοχόος εἶπεν· ἑλληνίζειν γὰρ ἠπίστατο. ἐνταῦθα μὲν δὴ γέλως ἐγένετο.

Ἐπειδὴ δὲ προὐχώρει ὁ πότος, εἰσῆλθεν ἀνὴρ Θρᾷξ ἵππον ἔχων λευκόν, καὶ λαβὼν κέρας μεστὸν εἶπε· „Προπίνω σοι, ὦ Σεύθη, καὶ τὸν ἵππον τοῦτον δωροῦμαι, ἐφ' οὗ καὶ διώκων, ὃν ἂν ἐθέλῃς, αἱρήσεις καὶ ἀποχωρῶν οὐ μὴ δείσῃς τὸν πολέμιον." ἄλλος παῖδα εἰσάγων οὕτως

1. **τρίπους**: tronogi stol. — **πᾶσιν**: za sve. — **ὅσον**: neko; stolovi se ne meću pred svakoga, već samo pred najuglednije goste. — 2. **μεστός**: s gen. copiae, pun. — **νέω**: krcam, gomilam. — **ἄρτος ζυμίτης**: potkvasnica (pogača). — **προσπερονάω πρός**: pripnem na. — 3. **τράπεζα**: stol. — **κατὰ τοὺς ξένους**: pred strance. — 4. **νόμος**: običaj. — **τοῦτο**: razumijeva se ono, što se dalje pripovijeda. — 5. **διακλάω κατὰ μικρόν**: isprelamam na komadiće. — 6. **οἷς**: τούτοις, οἷς. — **ἐδόκει**: sviđalo se. — **κρέας**: meso. — **ὡσαύτως**: tako isto. — **ὅσον**: τοσοῦτον, ὥστε; a sebi ostavi samo toliko, da. — **γεύομαι**: okusim. — 7. **κατὰ ταὐτά**: tako isto. — **καθ' οὕς**: pred kojima. — 8. **φαγεῖν δεινός**: silna izjelica. — 9. **ἐάω χαίρειν** (χαῖρε, zbogom): ne marim za. — **ὅσον τριχοίνικον ἄρτον**: kruh, kolik za tri dana; zapravo ‘od tri heniksa’, χοῖνιξ = 1·09 l; 1 heniks brašna dosta je običnomu čovjeku za jedan dan. — 10. **κέρατα οἴνου**: vino u rogovima. — 11. **φέρων**: v. str. 1. b. 6. (λαβών). — 12. **οἰνοχόος**: vinotoča. — **δειπνοῦντα**: v. str. 3. b. 11. (βουλευομένους). — 13. **σχολάζω**: počivam, imam kad. — **τὴν φωνήν**: riječi njegove. — 14. **ἑλληνίζω**: govorim helenski. — 15. **ἐνταῦθα**: tada.

16. **προχωρέω**: nastavljam se. — **πότος**: pijanka. — **ἔχων**: v. str. 1. b. 6. (λαβών). — 17. **προπίνω**: nazdravljam. — 18. **δωρέομαι**: darujem. — **διώκων**: ako budeš progonio. — **ὃν ἄν**: v. str. 9. b. 4. (ἄν). — 19. **ἀποχωρέω**: uzmičem, bježim. — **οὐ μὴ δείσῃς**: ne ćeš se lje bojati. — **οὕτως**: sastavi s προπίνων.

ἐδωρήσατο προπίνων, καὶ ἄλλος ἱμάτια τῇ γυναικί. καὶ Τιμασίων προπίνων ἐδωρήσατο φιάλην τε ἀργυρᾶν καὶ τάπιδα ἀξίαν δέκα μνῶν. Γνήσιππος δέ τις Ἀθηναῖος ἀναστὰς εἶπεν, ὅτι ἀρχαῖος εἴη νόμος κάλλιστος τοὺς μὲν ἔχοντας διδόναι τῷ βασιλεῖ τιμῆς ἕνεκα, τοῖς δὲ μὴ ἔχουσι διδόναι τὸν βασιλέα, „ἵνα καὶ ἐγώ," ἔφη, „ἔχω σοι δωρεῖσθαι καὶ τιμᾶν." ὁ δὲ Ξενοφῶν ἠπορεῖτο, τί ποιήσει· καὶ γὰρ ἐτύγχανεν ὡς τιμώμενος ἐν τῷ πλησιαιτάτῳ δίφρῳ Σεύθῃ καθήμενος. ὁ δὲ Ἡρακλείδης ἐκέλευεν αὐτῷ τὸ κέρας ὀρέξαι τὸν οἰνοχόον. ὁ δὲ Ξενοφῶν, ἤδη γὰρ ὑποπεπωκὼς ἐτύγχανεν, ἀνέστη θαρραλέως δεξάμενος τὸ κέρας καὶ εἶπεν· „Ἐγὼ δέ σοι, ὦ Σεύθη, δίδωμι ἐμαυτὸν καὶ τοὺς ἐμοὺς τούτους ἑταίρους φίλους εἶναι πιστούς, καὶ οὐδένα ἄκοντα, ἀλλὰ πάντας μᾶλλον ἔτι ἐμοῦ σοι βουλομένους φίλους εἶναι. καὶ νῦν πάρεισιν οὐδέν σε προσαιτοῦντες, ἀλλὰ καὶ προϊέμενοι καὶ πονεῖν ὑπὲρ σοῦ καὶ προκινδυνεύειν ἐθέλοντες· μεθ' ὧν, ἂν οἱ θεοὶ θέλωσι, πολλὴν χώραν τὴν μὲν ἀπολήψῃ πατρῴαν οὖσαν, τὴν δὲ κτήσῃ, πολλοὺς δὲ ἵππους, πολλοὺς δὲ ἄνδρας καὶ γυναῖκας καλὰς κτήσῃ, οὓς οὐ λῄζεσθαί σε δεήσει, ἀλλ' αὐτοὶ φέροντες παρέσονται πρὸς σὲ δῶρα." ἀναστὰς ὁ Σεύθης συνεξέπιε καὶ συγκατεσκεδάσατο μετ' αὐτοῦ τὸ κέρας. μετὰ ταῦτα εἰσῆλθον κέρασί τε, οἵοις σημαίνουσιν αὐλοῦντες, καὶ σάλπιγξιν ὠμοβοείαις ῥυθμούς τε καὶ οἷον μαγάδιδι σαλπίζοντες. καὶ αὐτὸς Σεύθης ἀναστὰς

1. **ἱμάτιον**: haljina. — **τῇ γυναικί**: za njegovu ženu; v. str. 1. b. 3. — **Τιμασίων**: Timasion, iz Dardana u Troadi, vojvoda helenski. — 2. **φιάλη**: čaša. — **τάπις**: sag. — **ἄξιος**: vrijedan, s gen. pretii. — **μνᾶ**: 78·60 K. — **Γνήσιππος**: Gnesip, satnik. — 3. **εἴη**: v. str. 2. b. 4. (ὡς). — 4. **τοὺς ἔχοντας**: da imućni. — 5. **ἵνα**: on veli, da nema ništa; ako kralj želi primiti dar od njega, neka ga on prije obdari. — **ἔχω**: v. str. 51. b. 16. — 6. **ἀπορέω**: u neprilici sam. — **ἐτύγχανεν**: sastavi s καθήμενος; v. str. 1. b. 4. — 7. **ὡς τιμώμενος**: za počast. — **δίφρος**: stolica. — **Σεύθῃ**: zavisno o πλησιαιτάτῳ. — 8. **Ἡρακλείδης**: Heraklid, doglavnik Seutov. — **αὐτῷ**: Ksenofontu. — 9. **ὑποπεπωκώς**: pripit. — **θαρραλέως**: smiono. — 11. **φίλους εἶναι πιστούς**: da ti budemo vjerni prijatelji, i da nitko ne bude preko volje prijatelj, već svi s voljom, još više nego ja. — **ἄκων**: v. str. 5. b. 2. (ἑκών). — 13. **προϊέμενοι**: već se predaju (tebi) i voljni su. — 14. **μεθ' ὧν**: a s njima. — **ἄν**: ἐάν; v. str. 2. b. 8. — 15. **τὴν μὲν — τὴν δέ**: koje — koje. — **πατρῴαν οὖσαν**: kao očevinu. — **κτήσῃ**: steći ćeš (osim svoje). — 16. **λῄζομαι**: plijenim. — 17. **φέροντες**: sastavi s δῶρα. — **συνεξέπιε**: ispi zajedno s njim (svaki iz svoga roga). — 18. **συγκατασκεδάννυμι τὸ κέρας μετά**: izlijevam zadnju kap iz roga s nekim zajedno; na tračku tim Seut odaje veselje. — 19. **οἵοις**: u kakve trubeći daju bojni znak. — **ὠμοβοείαις**: od sirove goveđe kože. — **ῥυθμούς**: u skladu, skladno. — 20. **οἷον μαγάδιδι**: u oktavi, zapravo ‘kao na magadidi’; na tom lidskom glazbalu s 20 žica grabile su se s dvije

ἀνέκραγέ τε πολεμικὸν καὶ ἐξήλατο ὥσπερ βέλος φυλαττόμενος μάλα ἐλαφρῶς. εἰσῆσαν δὲ καὶ γελωτοποιοί.

Ὡς δ' ἦν ἥλιος ἐπὶ δυσμαῖς, ἀνέστησαν οἱ Ἕλληνες καὶ εἶπον, ὅτι ὥρα νυκτοφύλακας καθιστάναι καὶ σύνθημα παραδιδόναι.

Vojska sretno vojuje, a kad joj nije Seut isplatio potpunu plaću, odazove se pozivu spartanskoga zapovjednika Tibrona, koji je mislio ratovati s Tisafernom i Farnabazom. Prijeđe u Lampsak, zatim zaputi Troadom preko gore Ide u Pergam, gdje je Ksenofont preda Tibronu.

ruke po dvije oktave. — 1. **πολεμικόν**: na bojnu; v. str. 8. b. 11. (τὰ ἄλλα). — **ἐξάλλομαι**: poskočim. — **ὥσπερ**: kao da se uklanja strijeli. — 2. **ἐλαφρῶς**: okretno. — **γελωτοποιός**: lakrdijaš.

3. **δυσμαί**: zapad. — 4. **ὥρα**: ἐστίν. — **νυκτοφύλακες**: noćne straže. — **σύνθημα**: geslo.

Iz „Kirupedije".

1. Odgoja perzijska.

(I. 2., 2.—15.)

Ἐπαιδεύθη γε μὴν ἐν Περσῶν νόμοις· οὗτοι δὲ δοκοῦσιν οἱ νόμοι ἄρχεσθαι τοῦ κοινοῦ ἀγαθοῦ ἐπιμελούμενοι οὐκ ἔνθενπερ ἐν ταῖς πλείσταις πόλεσιν ἄρχονται. αἱ μὲν γὰρ πλεῖσται πόλεις ἀφεῖσαι παιδεύειν, ὅπως τις ἐθέλει, τοὺς ἑαυτῶν παῖδας, καὶ αὐτοὺς τοὺς πρεσβυτέρους, ὅπως ἐθέλουσι, διάγειν, ἔπειτα προστάττουσιν αὐτοῖς μὴ κλέπτειν μηδὲ ἁρπάζειν, μὴ βίᾳ εἰς οἰκίαν παριέναι, μὴ παίειν, ὃν μὴ δίκαιον, μὴ ἀπειθεῖν ἄρχοντι, καὶ τἆλλα τὰ τοιαῦτα ὡσαύτως· ἢν δέ τις τούτων τι παραβαίνῃ, ζημίαν αὐτοῖς ἐπέθεσαν. οἱ δὲ Περσικοὶ νόμοι προλαβόντες ἐπιμελοῦνται, ὅπως τὴν ἀρχὴν μὴ τοιοῦτοι ἔσονται οἱ πολῖται, οἷοι πονηροῦ τινος ἢ αἰσχροῦ ἔργου ἐφίεσθαι. ἐπιμελοῦνται δὲ ὧδε. ἔστιν αὐτοῖς ἐλευθέρα ἀγορὰ καλουμένη, ἔνθα τά τε βασίλεια καὶ τἆλλα ἀρχεῖα πεποίηται. ἐντεῦθεν τὰ μὲν ὤνια καὶ οἱ ἀγοραῖοι καὶ αἱ τούτων φωναὶ καὶ ἀπειροκαλίαι ἀπελήλανται εἰς ἄλλον τόπον, ὡς μὴ μιγνύηται ἡ

1. **ἐπαιδεύθη**: Kir Stariji. — 2. **ἄρχεσθαι ἐπιμελούμενοι**: počinju se brinuti; v. str. 14. b. 16., str. 47. b. 1. i str. 10. b. 12. — **οὐκ ἔνθενπερ**: ne odande, odakle; ne ondje, gdje. — 3. **ἄρχονται**: dopuni ἐπιμελούμενοι. — **ἀφεῖσαι**: većina je dopustila, da djecu — odgaja i da sami stariji živu —, ali onda nalaže. — 6. **πάρειμι**: provaljujem. — **ὃν μή**: jer stoji mj. εἰ μή τινα. — **δίκαιον**: ἐστὶ παίειν. — **οὐκ ἀπειθέω**: ne ne slušam; slušam. — 7. **ὡσαύτως**: tako isto, slično. — **ἤν**: ἐάν, ponavljanje u sadašnjosti; v. str. 11. b. 2. (φ̃). — 8. **ζημία**: kazan. — **προλαβόντες**: već unaprijed. — 9. **ὅπως**: v. str. 2. b. 7. (βουλεύεται). — **τὴν ἀρχήν**: uopće, adverbijalni ak. — **οἷοι**: τοιοῦτοι, ὥστε: v. str. 62. b. 15. — 10. **ἐφίεμαί τινος**: težim na; v. str. 32. b. 11. (ὅτου). — **ὧδε**: na dvoru su se ugledna djeca odgajala istom poslije za Dareja; mnogo toga crta Ksenofont prema odgoji spartanskoj. — 11. **τὰ βασίλεια**: kraljevski dvor. **ἀρχεῖον**: javna zgrada. — 12. **τὰ ὤνια**: roba. — **οἱ ἀγοραῖοι**: trgovci. — 13. **ἀπειροκαλία**: prostota.

τούτων τύρβη τῇ τῶν πεπαιδευμένων εὐκοσμίᾳ. διῄρηται δὲ αὕτη ἡ ἀγορὰ ἡ περὶ τὰ ἀρχεῖα τέτταρα μέρη· τούτων δ' ἔστιν ἓν μὲν παισίν, ἓν δὲ ἐφήβοις, ἄλλο τελείοις ἀνδράσιν, ἄλλο τοῖς ὑπὲρ τὰ στρατεύσιμα ἔτη γεγονόσι. νόμῳ δ' εἰς τὰς ἑαυτῶν χώρας ἕκαστοι τούτων πάρεισιν, οἱ μὲν παῖδες ἅμα τῇ ἡμέρᾳ καὶ οἱ τέλειοι ἄνδρες, οἱ δὲ γεραίτεροι, ἡνίκ' ἂν ἑκάστῳ προχωρῇ, πλὴν ἐν ταῖς τεταγμέναις ἡμέραις, ἐν αἷς αὐτοὺς δεῖ παρεῖναι. οἱ δὲ ἔφηβοι καὶ κοιμῶνται περὶ τὰ ἀρχεῖα σὺν τοῖς γυμνητικοῖς ὅπλοις πλὴν τῶν γεγαμηκότων· οὗτοι δὲ οὔτε ἐπιζητοῦνται, ἢν μὴ προρρηθῇ παρεῖναι, οὔτε πολλάκις ἀπεῖναι καλόν. ἄρχοντες δ' ἐφ' ἑκάστῳ τούτων τῶν μερῶν εἰσι δώδεκα· δώδεκα γὰρ καὶ Περσῶν φυλαὶ διῄρηνται. καὶ ἐπὶ μὲν τοῖς παισὶν ἐκ τῶν γεραιτέρων ἡρημένοι εἰσίν, οἳ ἂν δοκῶσι τοὺς παῖδας βελτίστους ἀποδεικνύναι· ἐπὶ δὲ τοῖς ἐφήβοις ἐκ τῶν τελείων ἀνδρῶν, οἳ ἂν αὖ τοὺς ἐφήβους βελτίστους δοκῶσι παρέχειν· ἐπὶ δὲ τοῖς τελείοις ἀνδράσιν, οἳ ἂν δοκῶσι παρέχειν αὐτοὺς μάλιστα τὰ τεταγμένα ποιοῦντας καὶ τὰ παραγγελλόμενα ὑπὸ τῆς μεγίστης ἀρχῆς· εἰσὶ δὲ καὶ τῶν γεραιτέρων προστάται ἡρημένοι, ὅπως καὶ οὗτοι τὰ καθήκοντα ἀποτελῶσιν. ἃ δὲ ἑκάστῃ ἡλικίᾳ προστέτακται ποιεῖν, διηγησόμεθα, ὡς μᾶλλον δῆλον γένηται, ᾗ ἐπιμελοῦνται, ὡς ἂν βέλτιστοι εἶεν οἱ πολῖται.

Οἱ μὲν δὴ παῖδες εἰς τὰ διδασκαλεῖα φοιτῶντες διάγουσι μανθάνοντες δικαιοσύνην· καὶ λέγουσιν, ὅτι ἐπὶ τοῦτο ἔρχονται, ὥσπερ παρ' ἡμῖν οἱ τὰ γράμματα μαθησόμενοι. οἱ δ' ἄρχοντες αὐτῶν διατελοῦσι

1. **τύρβη**: buka. — **εὐκοσμία**: pristojnost. — **διαιρέω τι τέτταρα μέρη**: dijelim nešto na četiri dijela. — 3. **ἔφηβος**: mladić. — **τέλειος**: potpun, zreo. — **τοῖς ὑπέρ**: za one, koji su navršili vojničke godine. — 4. **νόμῳ**: po zakonu. — **χώρα**: mjesto. — **πάρεισιν**: adsunt, dolaze. — 5. **ἅμα τῇ ἡμέρᾳ**: u zoru. — **ἡνίκ' ἄν**: ἡνίκα, kad; v. str. 5. b. 9., ovdje pokazuje ponavljanje u sadašnjosti. — 6. **προχωρεῖ**: prikladno je. — **τεταγμένος**: određen. 7. **κοιμάομαι**: spavam. — **γυμνητικός**: od laka pješaka, lak. — 8. **ἐπιζητέομαι**: traži se od mene. — 9. **προαγορεύω**: zapovijedam. — **καλόν**: ἐστίν. — **ἐφ'**: za. — 10. **καὶ Περσῶν**: i Perzijanci su na 12 plemena razdijeljeni. — 11. **αἱρέω**: biram. — **οἳ ἄν**: v. str. 11. b. 2. (ᾧ). — 12. **ἀποδείκνυμι**: činim. 13. **ἀνδρῶν**: dopuni ἡρημένοι εἰσίν. — **παρέχω**: činim. — 15. **μάλιστα ποιοῦντας**: da najbolje vrše. — **παραγγέλλω**: nalažem. — 16. **προστάτης**: glavar. — 17. **τὰ καθήκοντα**: dužnosti. — **ἀποτελέω**: vršim. — 18. **διηγέομαι**: pripovijedam. — **ᾗ**: kako.

20. **διδασκαλεῖον**: škola. — **φοιτάω**: polazim. — **διάγουσι μανθάνοντες**: neprestano uče; v. str. 1. b. 4. (παρών). — 21. **ἐπὶ τοῦτο**: na tu nauku t. j. da nauče pravednost. — **ὥσπερ**: kao što (idu) kod nas, da nauče; v. str. 2. b. 5. (ὡς). — 22. **τὰ γράμματα**: početne nauke t. j. čitati i pisati. — **διατελοῦσι δικάζοντες**: neprestano sude; v. str. 1. b. 4.

τὸ πλεῖστον τῆς ἡμέρας δικάζοντες αὐτοῖς. γίγνεται γὰρ δὴ καὶ παισὶ πρὸς ἀλλήλους ὥσπερ ἀνδράσιν ἐγκλήματα καὶ κλοπῆς καὶ ἁρπαγῆς καὶ βίας καὶ ἀπάτης καὶ κακολογίας καὶ ἄλλων, οἵων δὴ εἰκός. οὓς δ' ἂν γνῶσι τούτων τι ἀδικοῦντας, τιμωροῦνται. κολάζουσι δὲ καί, ὃν ἂν ἀδίκως ἐγκαλοῦντα εὑρίσκωσι. δικάζουσι δὲ καὶ ἐγκλήματος, οὗ ἕνεκα ἄνθρωποι μισοῦσι μὲν ἀλλήλους μάλιστα, δικάζονται δὲ ἥκιστα, ἀχαριστίας, καὶ ὃν ἂν γνῶσι δυνάμενον μὲν χάριν ἀποδιδόναι, μὴ ἀποδιδόντα δέ, κολάζουσι καὶ τοῦτον ἰσχυρῶς. οἴονται γὰρ τοὺς ἀχαρίστους καὶ περὶ θεοὺς ἂν μάλιστα ἀμελῶς ἔχειν καὶ περὶ γονέας καὶ πατρίδα καὶ φίλους. ἕπεσθαι δὲ δοκεῖ μάλιστα τῇ ἀχαριστίᾳ ἡ ἀναισχυντία· καὶ γὰρ αὕτη μεγίστη δοκεῖ εἶναι ἐπὶ πάντα τὰ αἰσχρὰ ἡγεμών. διδάσκουσι δὲ τοὺς παῖδας καὶ σωφροσύνην· μέγα δὲ συμβάλλεται εἰς τὸ μανθάνειν σωφρονεῖν αὐτούς, ὅτι καὶ τοὺς πρεσβυτέρους ὁρῶσιν ἀνὰ πᾶσαν ἡμέραν σωφρόνως διάγοντας. διδάσκουσι δὲ αὐτοὺς καὶ πείθεσθαι τοῖς ἄρχουσι· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους πειθομένους τοῖς ἄρχουσιν ἰσχυρῶς. διδάσκουσι δὲ καὶ ἐγκράτειαν γαστρὸς καὶ ποτοῦ· μέγα δὲ καὶ εἰς τοῦτο συμβάλλεται, ὅτι ὁρῶσι τοὺς πρεσβυτέρους οὐ πρόσθεν ἀπιόντας γαστρὸς ἕνεκα, πρὶν ἂν ἀφῶσιν οἱ ἄρχοντες, καὶ ὅτι οὐ παρὰ μητρὶ σιτοῦνται οἱ παῖδες, ἀλλὰ παρὰ τῷ διδασκάλῳ, ὅταν οἱ ἄρχοντες σημήνωσι. φέρονται δὲ οἴκοθεν σῖτον μὲν

1. **τὸ πλεῖστον τῆς**: veći dio dana. — 2. **ἔγκλημα**: tužba. — **κλοπῆς**: radi krađe. — **ἁρπαγή**: grabež. — 3. **ἀπάτη**: prijevara. — **κακολογία**: pogrda. — **εἰκός**: ἐστὶν ἐγκλήματα γίγνεσθαι, rašta je prirodno. — 4. **γνῶσι**: v. str. 11. b. 2. (ᾧ). — **ἀδικοῦντας**: v. str. 3. b. 11. (βουλευομένους). — **τιμωρέομαι**: kaznim. — 5. **ἐγκαλέω**: tužim. — **ἐγκλήματος**: gen. criminis, radi krivnje. — 6. **δικάζομαι**: prem se, idem na sud. — **ἀχαριστίας**: apozicija od ἐγκλήματος, radi nezahvalnosti. — 7. **δυνάμενον**: da može biti zahvalan, a nije; v. str. 3. b. 11. — **μή**: jer ὃν ἄν stoji mj. ἐάν τινα. — 8. **κολάζω**: kaznim. — 9. **ἄν**: sastavi s ἔχειν; v. str. 9. b. 8. (ἄν). — **ἀμελῶς ἔχω περί τινα**: ne marim za; v. str. 3. b. 3. (ἐνοϊκῶς). — 10. **ἀναισχυντία**: bestidnost. — 11. **ἡγεμών**: vodilja. — 12. **σωφροσύνη**: čednost. — **μέγα**: mnogo; v. str. 8. b. 11. (τὰ ἄλλα). — **συμβάλλομαι**: pridonosim. — **εἰς τό**: k tomu, da oni uče biti čedni, mnogo pridonosi to, što. — 13. **ἀνὰ πᾶσαν ἡμέραν**: čitav dan. — 14. **διάγοντας**: v. str. 3. b. 11. — 16. **ἰσχυρῶς**: sastavi s πειθομένους. — **ἐγκράτεια γαστρός** (γαστήρ, želudac): umjerenost u jelu. — 17. **ποτόν**: pilo. — 18. **γαστήρ**: jelo. — **πρὶν ἄν**: v. str. 5. b. 9. — 20. **ὅταν**: kad, v. str. 5. b. 9.; ponavljanje u sadašnjosti. — **σημαίνω**: naređujem. — **φέρονται**: nose sebi. — **σῖτον ἄρτον**: za hranu kruh.

ἄρτον, ὄψον δὲ κάρδαμον, πιεῖν δέ, ἤν τις διψῇ, κώθωνα, ὡς ἀπὸ τοῦ ποταμοῦ ἀρύσασθαι. πρὸς δὲ τούτοις μανθάνουσι καὶ τοξεύειν καὶ ἀκοντίζειν. μέχρι μὲν δὴ ἓξ ἢ ἑπτακαίδεκα ἐτῶν ἀπὸ γενεᾶς οἱ παῖδες ταῦτα πράττουσιν, ἐκ τούτου δὲ εἰς τοὺς ἐφήβους ἐξέρχονται.

Οὗτοι δ᾽ αὖ οἱ ἔφηβοι διάγουσιν ὧδε. δέκα ἔτη, ἀφ᾽ οὗ ἂν ἐκ παίδων ἐξέλθωσι, κοιμῶνται μὲν περὶ τὰ ἀρχεῖα, ὥσπερ προειρήκαμεν, καὶ φυλακῆς ἕνεκα τῆς πόλεως καὶ σωφροσύνης· δοκεῖ γὰρ αὕτη ἡ ἡλικία μάλιστα ἐπιμελείας δεῖσθαι· παρέχουσι δὲ καὶ τὴν ἡμέραν ἑαυτοὺς τοῖς ἄρχουσι χρῆσθαι, ἤν τι δέωνται ὑπὲρ τοῦ κοινοῦ. καὶ ὅταν μὲν δέῃ, πάντες μένουσι περὶ τὰ ἀρχεῖα· ὅταν δὲ ἐξίῃ βασιλεὺς ἐπὶ θήραν, ἐξάγει τὴν ἡμίσειαν τῆς φυλακῆς· ποιεῖ δὲ τοῦτο πολλάκις τοῦ μηνός. ἔχειν δὲ δεῖ τοὺς ἐξιόντας τόξα καὶ παρὰ τὴν φαρέτραν ἐν κολεῷ κοπίδα ἢ σάγαριν, ἔτι δὲ γέρρον καὶ παλτὰ δύο, ὥστε τὸ μὲν ἀφεῖναι, τῷ δέ, ἐὰν δέῃ, ἐκ χειρὸς χρῆσθαι. διὰ τοῦτο δὲ δημοσίᾳ τοῦ θηρᾶν ἐπιμελοῦνται, καὶ βασιλεὺς ὥσπερ καὶ ἐν πολέμῳ ἡγεμών ἐστιν αὐτοῖς καὶ αὐτός τε θηρᾷ καὶ τῶν ἄλλων ἐπιμελεῖται, ὅπως ἂν θηρῶσιν, ὅτι ἀληθεστάτη αὐτοῖς δοκεῖ εἶναι αὕτη ἡ μελέτη τῶν πρὸς τὸν πόλεμον. καὶ γὰρ πρῲ ἀνίστασθαι ἐθίζει καὶ ψύχη καὶ θάλπη ἀνέχεσθαι, γυμνάζει δὲ καὶ ὁδοιπορίαις καὶ δρόμοις, ἀνάγκη δὲ καὶ τοξεῦσαι θηρίον καὶ

1. **ὄψον κάρδαμον**: za prismok dragušac; sve osim kruha je Helenu prismok t. j. povrće, masline, smokve, sir, meso, osobito riba. — **πιεῖν**: da se napiju. — **κώθων**: vrč, kaki je bio osobito u Lakedemonu u običaju. — **ὡς**: da zagrabe (ἀρύω, crpem). — 2. **πρὸς τούτοις**: k tomu, osim toga. — **τοξεύω**: strijeljam (s luka). — **ἀκοντίζω**: bacam koplje. — 3. **μέχρι**: do. — **γενεά**: porod. — 4. **ἐκ τούτου**: zatim. — **ἐξέρχομαι εἰς**: prelazim među.

5. **ἀφ᾽ οὗ**: otkad. — **ἐκ παίδων**: iz dječačkoga odjela. — 6. **ἐξέλθωσι**: v. str. 11. b. 2. — 7. **τῆς πόλεως**: gen. obj. od φυλακῆς. — **σωφροσύνης**: sastavi s ἕνεκα, radi stege. — 8. **δέομαι**: s gen. inopiae, trebam. — **παρέχουσι δὲ — χρῆσθαι**: predaju se na službu. — **τὴν ἡμέραν**: preko dana. — 9. **ὑπὲρ τοῦ κοινοῦ**: za opće dobro. — 11. **τὴν ἡμίσειαν**: mj. τὸ ἥμισυ, polovicu; pridjev se meće u onaj rod, kojega je imenica u gen. — **τοῦ μηνός**: gen. temp., na mjesec. — 12. **τόξον**: luk. — **παρὰ τὴν φαρέτραν**: uz tobolac. — **κολεός**: korice. — 13. **κοπίς**: zavinut mač. — **σάγαρις**: dvosjekla bojna sjekira. — **γέρρον**: v. str. 24. b. 7. — **παλτόν**: koplje. — **ὥστε**: v. str. 17. b. 9. (ὡς). — **τὸ μέν**: v. str. 3. b. 11. — **ἀφεῖναι**: izmetne (izdaleka). — 14. **ἐκ χειρός**: comminus, izbliza. — **δημοσίᾳ**: javno. — **τοῦ θηρᾶν**: za lov; v. str. 10. b. 12. — 16. **ὅτι**: jer. — 17. **μελέτη**: vježba. — **τὰ πρὸς πόλεμον**: ratne potrebe. — 18. **πρῴ**: rano: — **ἐθίζω**: priučavam. — **ψῦχος**: v. str. 47. b. 16. — **ἀνέχομαι**: podnosim. — 19. **ὁδοιπορία**: hod. — **ἀνάγκη**: ἐστίν, treba.

ἀκοντίσαι, ὅπου ἂν παραπίπτῃ. καὶ τὴν ψυχὴν δὲ πολλάκις ἀνάγκη θήγεσθαι, ὅταν τι τῶν ἀλκίμων θηρίων ἀνθιστῆται· παίειν μὲν γὰρ δήπου δεῖ τὸ ὁμόσε γιγνόμενον, φυλάξασθαι δὲ τὸ ἐπιφερόμενον· ὥστε οὐ ῥᾴδιον εὑρεῖν, τί ἐν τῇ θήρᾳ ἄπεστι τῶν ἐν πολέμῳ παρόντων. ἐξέρχονται δὲ ἐπὶ τὴν θήραν ἄριστον ἔχοντες πλεῖον μέν, ὡς τὸ εἰκός, τῶν παίδων, τἆλλα δὲ ὅμοιον. καὶ θηρῶντες μὲν οὐκ ἂν ἀριστήσειαν, ἢν δέ τι δεήσῃ ἢ θηρίου ἕνεκα ἐπικαταμεῖναι ἢ ἄλλως ἐθελήσωσι διατρῖψαι περὶ τὴν θήραν, τὸ οὖν ἄριστον τοῦτο δειπνήσαντες τὴν ὑστεραίαν αὖ θηρῶσι μέχρι δείπνου, καὶ μίαν ἄμφω τούτω τὼ ἡμέρα λογίζονται, ὅτι μιᾶς ἡμέρας σῖτον δαπανῶσι. τοῦτο δὲ ποιοῦσι τοῦ ἐθίζεσθαι ἕνεκα, ἵνα, ἐάν τι καὶ ἐν πολέμῳ δεήσῃ, δύνωνται τοῦτο ποιεῖν. καὶ ὄψον δὲ τοῦτο ἔχουσιν οἱ τηλικοῦτοι, ὅ τι ἂν θηράσωσιν· εἰ δὲ μή, τὸ κάρδαμον. εἰ δέ τις αὐτοὺς οἴεται ἢ ἐσθίειν ἀηδῶς, ὅταν κάρδαμον μόνον ἔχωσιν ἐπὶ τῷ σίτῳ, ἢ πίνειν ἀηδῶς, ὅταν ὕδωρ πίνωσιν, ἀναμνησθήτω, πῶς μὲν ἡδὺ μᾶζα καὶ ἄρτος πεινῶντι φαγεῖν, πῶς δὲ ἡδὺ ὕδωρ πιεῖν διψῶντι.

Αἱ δ᾽ αὖ μένουσαι φυλαὶ διατρίβουσι μελετῶσαι τά τε ἄλλα, ἃ παῖδες ὄντες ἔμαθον, καὶ τοξεύειν καὶ ἀκοντίζειν, καὶ διαγωνιζόμενοι ταῦτα πρὸς ἀλλήλους διατελοῦσιν. εἰσὶ δὲ καὶ δημόσιοι τούτων ἀγῶνες καὶ ἆθλα προτίθεται· ἐν ᾗ δ᾽ ἂν τῶν φυλῶν πλεῖστοι ὦσι δαημονέστατοι καὶ ἀνδρικώτατοι καὶ εὐπιστότατοι, ἐπαινοῦσιν οἱ πολῖται καὶ τιμῶσιν

1. **ὅπου ἄν**: v. str. 11. b. 2. (φ). — **παραπίπτω**: banem. — **θήγω**: brusim, hrabrim. — 2. **ἄλκιμος**: jak. — **ἀνθίσταμαι**: opirem se. — **δήπου**: valjada. — 3. **τὸ ὁμόσε γιγνόμενον**: θηρίον; koja se sukobi. — **φυλάττομαί τινα**: čuvam se od. — **ἐπιφέρομαι**: navaljujem. — **ὥστε**: v. str. 4. b. 4. — 4. **τί ἄπεστι τῶν**: čega nije u lovu, a jest u. — 5. **ἄριστον**: doručak. — **ἔχοντες**: v. str. 1. b. 6. (λαβών). — **ὡς τὸ εἰκός**: kako je prirodno. — **τῶν παίδων**: gen. comparat. — 6. **τἆλλα**: uostalom, ak. obzira. — **ὅμοιον**: imadu kruh i dragušac, kao što dječaci, ali više. — **ἀριστάω**: doručkujem. — 7. **ἐπικαταμεῖναι**: pričekati. — **διατρῖψαι περί**: zabaviti se čim. — 8. **δειπνήσαντες**: doručak pojedu za ručak, a. — **τὴν ὑστεραίαν**: ἡμέραν; drugi dan. — 9. **μίαν**: ta dva dana računaju za jedan. — **ὅτι**: jer. — 10. **δαπανάω**: trošim. — **τοῦ ἐθίζεσθαι ἕνεκα**: za privikavanje. — 11. **ὄψον τοῦτο**: to imadu za prismok. — 12. **οἱ τηλικοῦτοι**: ti tako mladi, ti momci. — **εἰ δὲ μή**: inače t. j. ako ne ulove. — 13. **ἀηδῶς**: neslasno. — **ἐπί**: k, uz. — 14. **πῶς ἡδὺ φαγεῖν**: kako je slatko gladnu jesti. — 15. **μᾶζα**: ječmen kruh. — **ἄρτος**: pšeničan kruh.

16. **διατρίβουσι μελετῶσαι**: jednako (neprestano) se vježbaju; v. str. 1. b. 4. — **τὰ ἄλλα**: u ostalom; v. str. 8. b. 11. — 17. **ὄντες**: kao. — **διαγωνίζομαι**: natječem se; v. str. 112. b. 22. — 18. **ταῦτα**: v. str. 8. b. 11.. u tom. — **ἀγών**: natjecanje. — **τούτων**: u tom. — 19. **ἆθλον**: nagrada. — **ἐν ᾗ ἄν**: v. str. 11. b. 2. (φ), u kojoj fili. — **δαήμων**: vješt. — 20. **ἀνδρικός**: srčan. — **εὔπιστος**: poslušan.

*

οὐ μόνον τὸν νῦν ἄρχοντα αὐτῶν, ἀλλὰ καί, ὅστις αὐτοὺς παῖδας ὄντας ἐπαίδευσε. χρῶνται δὲ τοῖς μένουσι τῶν ἐφήβων αἱ ἀρχαί, ἤν τι ἢ φρουρῆσαι δεήσῃ ἢ κακούργους ἐρευνῆσαι ἢ λῃστὰς ὑποδραμεῖν ἢ καὶ ἄλλο τι, ὅσα ἰσχύος τε καὶ τάχους ἔργα ἐστί. ταῦτα μὲν δὴ οἱ ἔφηβοι πράττουσιν. ἐπειδὰν δὲ τὰ δέκα ἔτη διατελέσωσιν, ἐξέρχονται εἰς τοὺς τελείους ἄνδρας. ἀφ' οὗ δ' ἂν ἐξέλθωσι χρόνου, οὗτοι αὖ πέντε καὶ εἴκοσιν ἔτη διάγουσιν ὧδε.

Πρῶτον μὲν ὥσπερ οἱ ἔφηβοι παρέχουσιν ἑαυτοὺς ταῖς ἀρχαῖς χρῆσθαι, ἤν τι δέῃ ὑπὲρ τοῦ κοινοῦ, ὅσα φρονούντων τε ἤδη ἔργα ἐστὶ καὶ ἔτι δυναμένων. ἢν δέ ποι δέῃ στρατεύεσθαι, τόξα μὲν οἱ οὕτω πεπαιδευμένοι οὐκέτι ἔχοντες οὐδὲ παλτὰ στρατεύονται, τὰ δ' ἀγχέμαχα ὅπλα καλούμενα, θώρακά τε περὶ τοῖς στέρνοις καὶ γέρρον ἐν τῇ ἀριστερᾷ, οἱόνπερ γράφονται οἱ Πέρσαι ἔχοντες, ἐν δὲ τῇ δεξιᾷ μάχαιραν ἢ κοπίδα. καὶ αἱ ἀρχαὶ δὲ πᾶσαι ἐκ τούτων καθίστανται πλὴν οἱ τῶν παίδων διδάσκαλοι. ἐπειδὰν δὲ τὰ πέντε καὶ εἴκοσιν ἔτη διατελέσωσιν, εἴησαν μὲν ἂν οὗτοι πλεῖόν τι γεγονότες ἢ τὰ πεντήκοντα ἔτη ἀπὸ γενεᾶς· ἐξέρχονται δὲ τηνικαῦτα εἰς τοὺς γεραιτέρους ὄντας τε καὶ καλουμένους. οἱ δ' αὖ γεραίτεροι οὗτοι στρατεύονται μὲν οὐκέτι ἔξω τῆς ἑαυτῶν, οἴκοι δὲ μένοντες δικάζουσι τά τε κοινὰ καὶ τὰ ἴδια πάντα. καὶ θανάτου δὲ οὗτοι κρίνουσι, καὶ τὰς ἀρχὰς οὗτοι πάσας αἱροῦνται· καὶ ἤν τις ἢ ἐν ἐφήβοις ἢ ἐν τελείοις ἀνδράσιν ἐλλίπῃ τι τῶν νομίμων, φαίνουσι μὲν οἱ φύλαρχοι ἕκαστοι καὶ τῶν ἄλλων ὁ βουλόμενος, οἱ δὲ γεραίτεροι ἀκούσαντες ἐκκρίνουσιν· ὁ δὲ ἐκκριθεὶς ἄτιμος διατελεῖ τὸν λοιπὸν βίον.

1. **τὸν νῦν ἄρχοντα**: sadašnjega poglavara. — 2. **τοῖς μένουσι τῶν**: onim efebima, koji. — **τι**: sastavi sa δεήσῃ, za što. — **φρουρῆσαι**: stati na stražu. — 3. **κακοῦργος**: zločinac. — **ἐρευνάω**: tražim. — **λῃστής**: razbojnik. — **ὑποτρέχω**: progonim, hvatam. — 4. **ἰσχύς**: snaga. — **τάχος**: brzina. — **ὅσα ἔργα ἐστί**: a poslovi su; v. str. 10. b. 5. (οὕτως).

9. **φρονούντων**: razboritih. — 10. **δυνάμενος**: snažan; misli ljude, koji su za službu vojničku. — 11. **οὐκέτι ἔχοντες**: ne vojuju više s lukom —, već imadu t. zv. oružje. — **ἀγχέμαχος**: za boj izbliza. — 12. **στέρνον**: prsi. — **ἐν τῇ ἀριστερᾷ**: χειρί, u ljevici. — 13. **οἱόνπερ**: s kakvim se slikaju: pisac misli trijem Στοὰ ποικίλη u Ateni, gdje je bila naslikana bitka maratonska. — **μάχαιρα**: kratak, zavinut, samo na jednoj strani oštar mač. — 14. **ἐκ τούτων**: između odraslih. — 16. **εἴησαν ἄν**: mogu biti nešto stariji. — 17. **τηνικαῦτα**: tada. — **ὄντας τε καί**: koji jesu, a i zovu se stariji. — 18. **τῆς ἑαυτῶν**: χώρας. — 19. **τὰ κοινὰ καί**: u javnim i privatnim sporovima; v. str. 8. b. 11. (τὰ ἄλλα). — **θανάτου**: gen. criminis, na smrt. — 20. **αἱρέομαι**: biram. — 21. **ἐλλείπω**: zanemarujem. — **τὰ νόμιμα**: običajni zakoni, uredbe. — **φαίνω**: prijavljujem. — 22. **φύλαρχος**: glavar file. — **ἀκούω**: preslušavam. — 23. **ἐκκρίνω**: isključujem (iz odjela).

Ἵνα δὲ σαφέστερον δηλωθῇ πᾶσα ἡ Περσῶν πολιτεία, μικρὸν ἐπάνειμι· νῦν γὰρ ἐν βραχυτάτῳ ἂν δηλωθείη διὰ τὰ προειρημένα. λέγονται μὲν γὰρ Πέρσαι ἀμφὶ τὰς δώδεκα μυριάδας εἶναι· τούτων δ' οὐδεὶς ἀπελήλαται νόμῳ τιμῶν καὶ ἀρχῶν, ἀλλ' ἔξεστι πᾶσι Πέρσαις πέμπειν τοὺς ἑαυτῶν παῖδας εἰς τὰ κοινὰ τῆς δικαιοσύνης διδασκαλεῖα. ἀλλ' οἱ μὲν δυνάμενοι τρέφειν τοὺς παῖδας ἀργοῦντας πέμπουσιν, οἱ δὲ μὴ δυνάμενοι οὐ πέμπουσιν. οἳ δ' ἂν παιδευθῶσι παρὰ τοῖς δημοσίοις διδασκάλοις, ἔξεστιν αὐτοῖς ἐν τοῖς ἐφήβοις νεανισκεύεσθαι, τοῖς δὲ μὴ διαπαιδευθεῖσιν οὕτως οὐκ ἔξεστιν. οἳ δ' ἂν αὖ ἐν τοῖς ἐφήβοις διατελέσωσι τὰ νόμιμα ποιοῦντες, ἔξεστι τούτοις εἰς τοὺς τελείους ἄνδρας συναλίζεσθαι καὶ ἀρχῶν καὶ τιμῶν μετέχειν· οἳ δ' ἂν μὴ διαγένωνται ἐν τοῖς ἐφήβοις, οὐκ εἰσέρχονται εἰς τοὺς τελείους· οἳ δ' ἂν αὖ ἐν τοῖς τελείοις διαγένωνται ἀνεπίληπτοι, οὗτοι τῶν γεραιτέρων γίγνονται. οὕτω μὲν δὴ οἱ γεραίτεροι διὰ πάντων τῶν καλῶν ἐληλυθότες καθίστανται· καὶ ἡ πολιτεία αὕτη, ᾗ οἴονται χρώμενοι βέλτιστοι ἂν εἶναι.

2. Kir na dvoru Astijagovu.

(I. 3., 1.—13.)

Κῦρος γὰρ μέχρι μὲν δώδεκα ἐτῶν ἢ ὀλίγῳ πλεῖον ταύτῃ τῇ παιδείᾳ ἐπαιδεύθη, καὶ πάντων τῶν ἡλίκων διαφέρων ἐφαίνετο καὶ εἰς τὸ ταχὺ μανθάνειν, ἃ δέοι, καὶ εἰς τὸ καλῶς καὶ ἀνδρείως ἕκαστα ποιεῖν. ἐκ δὲ τούτου τοῦ χρόνου μετεπέμψατο Ἀστυάγης τὴν ἑαυτοῦ θυγατέρα καὶ τὸν παῖδα αὐτῆς· ἰδεῖν γὰρ ἐπεθύμει, ὅτι ἤκουεν αὐτὸν καλὸν κἀγα-

1. **δηλόω**: pokazujem, razlažem. — **πολιτεία**: uređenje, ustav. — **ἐπάνειμι**: vratit ću se. — 2. **διὰ τά**: radi onoga, što je sprijed rečeno. — 4. **ἀπελαύνω τινός**: gen. separat., odbijam od. — 6. **ἀργέω**: besposlen sam. — 7. **μή**: jer particip zamjenjuje hipotetsku rečenicu. — 8. **νεανισκεύομαι**: provodim mladost. — 11. **συναλίζομαι**: skupljam se. — **μετέχω τινός**: v. str. 95. b. 2. — **διαγένωνται**: proživе. — 13. **ἀνεπίληπτος**: bez prijekora. — **τῶν γεραιτέρων γίγνονται**: gen. subj., dolaze među. — 14. **διὰ πάντων**: pošto prođu kroz sve, što je lijepo. — **καθίστανται**: postaju, sastavi s οὕτως. — 15. **ἂν εἶναι**: v. str. 9. b. 8. (ἄν).

16. **ὀλίγῳ**: dat. mensurae. — **ταύτῃ**: odgojom, kako je ocrtana u br. 1. — 17. **ἧλιξ**: vršnjak. — **διαφέρω τινὸς εἰς**: odlikujem se od koga u; v. str. 32. b. 5. — **εἰς τὸ ταχὺ μανθάνειν**: u brzom shvaćanju. — **εἰς τὸ ποιεῖν**: u tom, što je. — 18. **ἀνδρείως**: ozbiljno. — 19. **ἐκ τούτου τοῦ χρόνου**: izatoga. — **μεταπέμπομαι**: pozivam. — 20. **ὅτι**: jer. — **καλὸς κἀγαθός**: dobar i valjan.

θὸν εἶναι. ἔρχεται δ' αὐτή τε ἡ Μανδάνη πρὸς τὸν πατέρα καὶ τὸν Κῦρον τὸν υἱὸν ἔχουσα. ὡς δὲ ἀφίκετο τάχιστα καὶ ἔγνω ὁ Κῦρος τὸν Ἀστυάγην τῆς μητρὸς πατέρα ὄντα, εὐθὺς οἷα δὴ παῖς φύσει φιλόστοργος ὢν ἠσπάζετό τε αὐτόν, ὥσπερ ἂν εἴ τις πάλαι συντεθραμμένος καὶ πάλαι φιλῶν ἀσπάζοιτο, καὶ ὁρῶν δὴ αὐτὸν κεκοσμημένον καὶ ὀφθαλμῶν ὑπογραφῇ καὶ χρώματος ἐντρίψει καὶ κόμαις προσθέτοις, ἃ δὴ νόμιμα ἦν ἐν Μήδοις· ταῦτα γὰρ πάντα Μηδικά ἐστι, καὶ οἱ πορφυροῖ χιτῶνες καὶ οἱ κάνδυες καὶ οἱ στρεπτοὶ οἱ περὶ τῇ δέρῃ καὶ τὰ ψέλια τὰ περὶ ταῖς χερσίν, ἐν Πέρσαις δὲ τοῖς οἴκοι καὶ νῦν ἔτι πολὺ καὶ ἐσθῆτες φαυλότεραι καὶ δίαιται εὐτελέστεραι· ὁρῶν δὴ τὸν κόσμον τοῦ πάππου, ἐμβλέπων αὐτῷ ἔλεγεν· „Ὦ μῆτερ, ὡς καλός μοι ὁ πάππος.“ ἐρωτώσης δὲ αὐτὸν τῆς μητρός, πότερος καλλίων αὐτῷ δοκεῖ εἶναι, ὁ πατὴρ ἢ οὗτος, ἀπεκρίνατο ἄρα ὁ Κῦρος· „Ὦ μῆτερ, Περσῶν μὲν πολὺ κάλλιστος ὁ ἐμὸς πατήρ, Μήδων μέντοι, ὅσων ἑώρακα ἐγὼ καὶ ἐν ταῖς ὁδοῖς καὶ ἐπὶ ταῖς θύραις, πολὺ οὗτος ὁ ἐμὸς πάππος κάλλιστος.“ ἀντασπαζόμενος δὲ ὁ πάππος αὐτὸν καὶ στολὴν καλὴν ἐνέδυσε καὶ στρεπτοῖς καὶ ψελίοις ἐτίμα καὶ ἐκόσμει καί, εἴ ποι ἐξελαύνοι, ἐφ' ἵππου χρυσοχαλίνου περιῆγεν, ὥσπερ καὶ αὐτὸς εἰώθει πορεύεσθαι. ὁ δὲ Κῦρος, ἅτε παῖς ὢν καὶ φιλόκαλος καὶ φιλότιμος, ἥδετο τῇ στολῇ, καὶ ἱππεύειν μανθάνων ὑπερέχαιρεν· ἐν Πέρσαις γὰρ διὰ τὸ χαλεπὸν εἶναι καὶ τρέφειν ἵππους καὶ ἱππεύειν ἐν ὀρεινῇ οὔσῃ τῇ χώρᾳ καὶ ἰδεῖν ἵππον σπάνιον ἦν.

2. ***ἔχουσα***: v. str. 1. b. 6. (λαβών). — ***ὡς τάχιστα***: čim. — ***ἔγνω ὄντα***: sazna, da je; v. str. 3. b. 11. (βουλευομένους). — 3. ***οἷα ὢν***: kako (jer) je bio. — ***φύσει***: po prirodi. — ***φιλόστοργος***: umiljat. — 4. ***ἀσπάζομαι***: grlim. — ***ὥσπερ ἂν εἰ***: mj. ὥσπερ ἂν ἀσπάζοιτο, εἴ τις ἀσπάζοιτο; kao kad bi. — 5. ***πάλαι — φιλῶν***: kakav davni drug i prijatelj. — 6. ***ὑπογραφή***: ličenje, prevedi: oličenih očiju; ispod očiju, da bi se više isticale, ličili su se Perzijanci smrvljenim rastokom (στίμμις). — ***χρώματος ἐντρίψει***: natiranjem boje; prevedi: obojena lica. — ***κόμαι πρόσθετοι***: tuđa kosa. — 7. ***νόμιμος***: običajan. — 8. ***κάνδυς***: v. str. 16. b. 7. pa b. 9. i 10. — ***δέρη***: vrat. — 9. ***τοῖς οἴκοι***: u Perzijanaca onih u svom zavičaju t. j. u pokrajini Perzidi. — ***πολύ***: sastavi s komparativima. — 10. ***φαῦλος***: loš. — ***δίαιτα***: život. — ***εὐτελής***: jeftin, prost. — 11. ***πάππος***: djed. — ***αὐτῷ***: zavisno od ἐμβλέπων, gledajući u njega. — 12. ***πότερος***: koji (od dvojice). — 13. ***πολύ***: kud i kamo. — 14. ***ὅσων***: ὅσους; v. str. 4. b. 8. (ὧν). — 15. ***θύραι***: v. str. 29. b. 1. — ***ἀντασπάζομαι***: grlim opet. — 16. ***στολή***: haljina. — 17. ***ἐξελαύνω***: izjašem. — 18. ***χρυσοχάλινος***: sa zlatnom uzdom. — ***περιάγω***: vodam. — ***εἴωθα*** (ἐθίζω): vičam sam, običavam. — ***πορεύομαι***: jašem. — 19. ***ἅτε ὤν***: jer je bio. — ***φιλόκαλος, φιλότιμός εἰμι***: volim ljepotu, čast. — 20. ***ὑπερχαίρω***: osobito se radujem. — ***διὰ τό***: jer je teško hraniti i jahati. — 21. ***ὀρεινός***: gorovit. — ***καὶ ἰδεῖν***: zavisno o σπάνιον ἦν, bijaše rijetko i vidjeti.

Δειπνῶν δὲ δὴ ὁ Ἀστυάγης σὺν τῇ θυγατρὶ καὶ τῷ Κύρῳ, βουλόμενος τὸν παῖδα ὡς ἥδιστα δειπνεῖν, ἵνα ἧττον τὰ οἴκαδε ποθοίη, προσήγαγεν αὐτῷ καὶ παροψίδας καὶ παντοδαπὰ ἐμβάμματα καὶ βρώματα. τὸν δὲ Κῦρον ἔφασαν λέγειν· „Ὦ πάππε, ὅσα πράγματα ἔχεις ἐν τῷ δείπνῳ, εἰ ἀνάγκη σοι ἐπὶ πάντα τὰ λεκάρια ταῦτα διατείνειν τὰς χεῖρας καὶ ἀπογεύεσθαι τούτων τῶν παντοδαπῶν βρωμάτων.“ „Τί δέ,“ φάναι τὸν Ἀστυάγην, „οὐ γὰρ πολύ σοι δοκεῖ εἶναι κάλλιον τόδε τὸ δεῖπνον τοῦ ἐν Πέρσαις;“ τὸν δὲ Κῦρον πρὸς ταῦτα ἀποκρίνασθαι λέγεται· „Οὔκ, ὦ πάππε, ἀλλὰ πολὺ ἁπλουστέρα καὶ εὐθυτέρα παρ' ἡμῖν ἡ ὁδός ἐστιν ἐπὶ τὸ ἐμπλησθῆναι ἢ παρ' ὑμῖν· ἡμᾶς μὲν γὰρ ἄρτος καὶ κρέα εἰς τοῦτο ἄγει, ὑμεῖς δὲ εἰς μὲν ταὐτὸν ἡμῖν σπεύδετε, πολλοὺς δέ τινας ἑλιγμοὺς ἄνω καὶ κάτω πλανώμενοι μόλις ἀφικνεῖσθε, ὅποι ἡμεῖς πάλαι ἥκομεν.“ „Ἀλλ', ὦ παῖ,“ φάναι τὸν Ἀστυάγην, „οὐκ ἀχθόμενοι ταῦτα περιπλανώμεθα· γευόμενος δὲ καὶ σύ,“ ἔφη, „γνώσει, ὅτι ἡδέα ἐστίν.“ „Ἀλλὰ καὶ σέ,“ φάναι τὸν Κῦρον, „ὁρῶ, ὦ πάππε, μυσαττόμενον ταῦτα τὰ βρώματα.“ καὶ τὸν Ἀστυάγην ἐπερέσθαι· „Καὶ τίνι δὴ σὺ τεκμαιρόμενος, ὦ παῖ, λέγεις;“ „Ὅτι σε,“ φάναι, „ὁρῶ, ὅταν μὲν τοῦ ἄρτου ἅψῃ, εἰς οὐδὲν τὴν χεῖρα ἀποψώμενον, ὅταν δὲ τούτων τινὸς θίγῃς, εὐθὺς ἀποκαθαίρει τὴν χεῖρα εἰς τὰ χειρόμακτρα, ὡς πάνυ ἀχθόμενος, ὅτι πλέα σοι ἀπ' αὐτῶν ἐγένετο.“ πρὸς ταῦτα δὲ τὸν Ἀστυάγην εἰπεῖν· „Εἰ τοίνυν οὕτω γιγνώσκεις, ὦ παῖ, ἀλλὰ κρέα γε εὐωχοῦ, ἵνα νεανίας

2. ***ἧττον***: manje. — ***τὰ οἴκαδε ποθέω***: čeznem za domom. — 3. ***παροψίς***: zdjela (s izabranim jelom). — ***παντοδαπός***: svakojaki. — ***ἔμβαμμα***: umak. — ***βρῶμα***: jelo. — 4. ***πράγματα***: posao, muka. — 5. ***ἀνάγκη σοι***: v. str. 9. b. 1. — ***ἐπί***: za. — ***λεκάριον***: zdjelica. — 6. ***ἀπογεύομαί τινος***: kušam; v. str. 33. b. 10. — ***φάναι***: dopuni ἔφασαν. — 7 ***πολύ***: sastavi s κάλλιον. — ***τοῦ ἐν Πέρσαις***: δεῖπνου, od ručka perzijskoga. — 9. ***ἁπλοῦς***: jednostavan. — ***εὐθύς***: ravan, kratak. — 10. ***ἐπὶ τὸ ἐμπλησθῆναι***: do sitosti. — ***κρέας***: meso. — ***εἰς τοῦτο***: do sitosti. — 11. ***εἰς ταὐτὸν ἡμῖν σπεύδετε***: idete za istim kao mi. — 12. ***ἑλιγμούς***: unutr. obj., krivudanjem, stramputicama. — ***ἄνω καὶ κάτω***: amo tamo. — ***πλανάομαι***: tumaram. — ***μόλις***: jedva. — 13. ***φάναι***: zavisno o λέγεται, samo što se nastavlja u ak. s inf. — ***οὐκ ἀχθόμενοι***: bez zlovolje. — ***ταῦτα***: sastavi s περιπλανώμεθα; v. str. 8. b. 11. (τὰ ἄλλα). — 15. ***μυσάττομαί τι***: gadi mi se što. — 16. ***τεκμαίρομαί τινι***: sudim po. — 17. ***ὅτι***: jer. — ***τοῦ ἄρτου***: v. str. 17. b. 9. — 18. ***ἅψῃ***: ponavljanje u sadašnjosti; v. str. 11. b. 2. i str. 5. b. 9. — ***εἰς οὐδέν***: ni o što. — ***ἀποψάομαι***: otirem; v. str. 3. b. 11. — ***τούτων***: zavisno o τινός a τινός o θιγγάνω (dotičem se). — 19. ***εὐθύς***: odmah. — ***ἀποκαθαίρω***: čistim, tarem. — ***χειρόμακτρον***: ručnik. — ***ὡς***: kao da. — 20. ***πλέα***: χείρ; πλέως s gen. copiae, pun. — ***πρὸς ταῦτα***: nato. — 21. ***τοίνυν***: dakle. — ***γιγνώσκω***: sudim. — ***εὐωχέομαί τι***: gostim se čim. — ***νεανίας***: kao mladić.

οἴκαδε ἀπέλθῃς.“ ἅμα δὲ ταῦτα λέγοντα πολλὰ αὐτῷ παραφέρειν καὶ θήρεια καὶ τῶν ἡμέρων. καὶ τὸν Κῦρον, ἐπεὶ ἑώρα πολλὰ τὰ κρέα, εἰπεῖν· „Ἦ καὶ δίδως,“ φάναι, „ὦ πάππε, πάντα ταῦτά μοι τὰ κρέα, ὅ τι ἂν βούλωμαι, αὐτοῖς χρῆσθαι;“ „Νὴ Δία,“ φάναι, „ὦ παῖ, ἔγωγέ σοι.“

Ἐνταῦθα δὴ τὸν Κῦρον λαβόντα τῶν κρεῶν διαδιδόναι τοῖς ἀμφὶ τὸν πάππον θεραπευταῖς, ἐπιλέγοντα ἑκάστῳ· „Σοὶ μὲν τοῦτο, ὅτι προθύμως με ἱππεύειν διδάσκεις, σοὶ δ᾽, ὅτι μοι παλτὸν ἔδωκας — νῦν γὰρ τοῦτ᾽ ἔχω, — σοὶ δ᾽, ὅτι τὸν πάππον καλῶς θεραπεύεις, σοὶ δ᾽, ὅτι μου τὴν μητέρα τιμᾷς.“ τοιαῦτα ἐποίει, ἕως διεδίδου πάντα ἃ ἔλαβε κρέα. „Σάκᾳ δέ,“ φάναι τὸν Ἀστυάγην, „τῷ οἰνοχόῳ, ὃν ἐγὼ μάλιστα τιμῶ, οὐδὲν δίδως;“ ὁ δὲ Σάκας ἄρα καλός τε ὢν ἐτύγχανε καὶ τιμὴν ἔχων προσάγειν τοὺς δεομένους Ἀστυάγους καὶ ἀποκωλύειν, οὓς μὴ καιρὸς αὐτῷ δοκοίη εἶναι προσάγειν. καὶ τὸν Κῦρον ἐπερέσθαι προπετῶς, ὡς ἂν παῖς μηδέπω ὑποπτήσσων· „Διὰ τί δή, ὦ πάππε, τοῦτον οὕτω τιμᾷς;“ καὶ τὸν Ἀστυάγην σκώψαντα εἰπεῖν· „Οὐχ ὁρᾷς,“ φάναι, „ὡς καλῶς οἰνοχοεῖ καὶ εὐσχημόνως;“ οἱ δὲ τῶν βασιλέων τούτων οἰνοχόοι κομψῶς τε οἰνοχοοῦσι καὶ καθαρείως ἐγχέουσι καὶ διδόασι τοῖς τρισὶ δακτύλοις ὀχοῦντες τὴν φιάλην καὶ προσφέρουσιν, ὡς ἂν ἐνδοῖεν τὸ ἔκπωμα εὐληπτότατα τῷ μέλλοντι πίνειν. „Κέλευσον δή,“ φάναι, „ὦ πάππε, τὸν Σάκαν καὶ ἐμοὶ δοῦναι τὸ ἔκπωμα, ἵνα κἀγὼ καλῶς σοι πιεῖν ἐγχέας ἀνακτήσωμαί σε, ἢν δύνωμαι.“ καὶ τὸν κελεῦσαι δοῦναι.

1. ***ἅμα λέγοντα***: dok je to govorio. — ***παραφέρειν***: v. str. 119. b. 13., nuđao je. — 2. ***θήρεια***: κρέα, divljačina. — ***τῶν ἡμέρων***: od pitomih životinja. — 3. ***ἦ***: zar. — 4. ***ὅ τι ἂν βούλωμαι***: kakogod ushtjednem. — ***νὴ Δία***: Zeusa mi. — ***ἔγωγέ σοι***: δίδωμι.

5. ***ἐνταῦθα***: onda. — ***τῶν κρεῶν***: gen. partit. — ***διαδιδόναι***: v. str. 119. b. 13. — 6. ***θεραπευτής***: dvoranin. — ***τοῦτο***: δίδωμι. — ***προθύμως***: rado. — 8. ***τοῦτο***: παλτόν; ta sad ga imam! Želio sam ga, a ti si mi ga dao. Koplje su dobivali istom efebi. — ***θεραπεύω***: dvorim. — 9. ***ἕως***: dok ne. — ***πάντα***: sastavi s κρέα. — 10. ***οἰνοχόος***: vinotoča. — 11. ***ἐτύγχανε***: v. str. 1. b. 4. — 12. ***προσάγειν***: zavisno o τιμή, časna služba voditi pred Astijaga one, koji su ga nešta molili. — ***ἀποκωλύω***: zadržim, ne puštam. — ***οὓς μή***: negacija μή, jer je mj. εἰ μή τινας. — 13. ***δοκοίη***: v. str. 2. b. 10. (ἀφικνοῖτο). — ***προπετῶς***: brzo. — 14. ***ὡς ἄν***: dopuni ἔροιτο; kao dječak, koji još nije sramežljiv. — ***ὑποπτήσσω***: šćućurim se od straha ili stida. — ***διὰ τί***: zašto. — 15. ***σκώπτω***: šalim se. — 16. ***εὐσχημόνως***: pristojno. — 17. ***κομψῶς***: krasno. — ***καθαρείως***: čisto, ne prolijevajući ni kapi. — ***ἐγχέω***: natačem. — 18. ***δάκτυλος***: prst. — ***ὀχέω***: nosim. — ***ὡς ἄν***: kako bi. — ***ἐνδίδωμι***: predajem. — 19. ***ἔκπωμα***: čaša. — ***εὔληπτος***: koji se lako može primiti, prikladan. — 21. ***πιεῖν***: zavisno o ἐγχέας; da ti natočim, da piješ, i da. — ***ἀνακτάομαι***: pridobijam. — ***ἤν***: ἐάν; v. str. 2. b. 8. — ***καὶ τόν***: i on (Astijag).

λαβόντα δὲ τὸν Κῦρον οὕτω μὲν δὴ εὖ κλύσαι τὸ ἔκπωμα, ὥσπερ τὸν Σάκαν ἑώρα, οὕτω δὲ στήσαντα τὸ πρόσωπον σπουδαίως καὶ εὐσχημόνως πως προσενεγκεῖν καὶ ἐνδοῦναι τὴν φιάλην τῷ πάππῳ, ὥστε τῇ μητρὶ καὶ τῷ Ἀστυάγει πολὺν γέλωτα παρασχεῖν. καὶ αὐτὸν δὲ τὸν Κῦρον ἐκγελάσαντα ἀναπηδῆσαι πρὸς τὸν πάππον καὶ φιλοῦντα ἅμα εἰπεῖν· „Ὦ Σάκα, ἀπόλωλας· ἐκβαλῶ σε ἐκ τῆς τιμῆς· τά τε γὰρ ἄλλα,“ φάναι, „σοῦ κάλλιον οἰνοχοήσω καὶ οὐκ ἐκπίομαι αὐτὸς τὸν οἶνον.“ οἱ δ᾽ ἄρα τῶν βασιλέων οἰνοχόοι, ἐπειδὰν διδῶσι τὴν φιάλην, ἀρύσαντες ἀπ᾽ αὐτῆς τῷ κυάθῳ εἰς τὴν ἀριστερὰν χεῖρα ἐγχεάμενοι καταρροφοῦσι, τοῦ δή, εἰ φάρμακα ἐγχέοιεν, μὴ λυσιτελεῖν αὐτοῖς.

Ἐκ τούτου δὴ ὁ Ἀστυάγης ἐπισκώπτων· „Καὶ τί δή,“ ἔφη, „ὦ Κῦρε, τἆλλα μιμούμενος τὸν Σάκαν οὐκ ἀπερρόφησας τοῦ οἴνου;“ „Ὅτι,“ ἔφη, „νὴ Δία ἐδεδοίκειν, μὴ ἐν τῷ κρατῆρι φάρμακα μεμιγμένα εἴη. καὶ γάρ, ὅτε εἱστίασας σὺ τοὺς φίλους ἐν τοῖς γενεθλίοις, σαφῶς κατέμαθον φάρμακα ὑμῖν αὐτὸν ἐγχέαντα.“ „Καὶ πῶς δὴ σὺ τοῦτο,“ ἔφη, „ὦ παῖ, κατέγνως;“ „Ὅτι νὴ Δί᾽ ὑμᾶς ἑώρων καὶ ταῖς γνώμαις καὶ τοῖς σώμασι σφαλλομένους. πρῶτον μὲν γάρ, ἃ οὐκ ἐᾶτε ἡμᾶς τοὺς παῖδας ποιεῖν, ταῦτα αὐτοὶ ἐποιεῖτε. πάντες μὲν γὰρ ἅμα ἐκεκράγειτε, ἐμανθάνετε δὲ οὐδὲν ἀλλήλων, ᾔδετε δὲ καὶ μάλα γελοίως, οὐκ ἀκροώμενοι δὲ τοῦ ᾄδοντος ὤμνυτε ἄριστα ᾄδειν· λέγων δὲ ἕκαστος ὑμῶν τὴν ἑαυτοῦ ῥώμην, ἔπειτ᾽, εἰ ἀνασταίητε ὀρχησόμενοι, μὴ ὅπως ὀρχεῖσθαι

1. ***κλύζω***: splâčêm, splaknem. — 2. ***στήσαντα τὸ πρόσωπον σπουδαίως***: namjestivši lice ozbiljno, uozbiljivši se. — ***εὐσχημόνως***: sastavi s προσενεγκεῖν. — 3. ***ὥστε***: v. str. 3. b. 1. — 4. ***ἐκγελάω***: udaram u smijeh. — 5. ***ἀναπηδάω πρός***: poskočim k. — ***φιλοῦντα ἅμα***: dok ga je cjelivao. — 6. ***τὰ ἄλλα***: inače; v. str. 8. b. 11. — 7. ***ἄρα***: naime. — 8. ***διδῶσι***: v. str. 11. b. 2. i str. 5. b. 9. — ***ἀρύω***: crpem, grabim. — 9. ***κύαθος***: čašica, kojom se iz vrča grabi i natače; ima veliko uho, da se prsti ne okvase. — ***εἰς τὴν ἀριστεράν***: nalivši sebi na lijevu. — ***καταρροφέω***: posrknem. — 10. ***τοῦ μὴ λυσιτελεῖν***: da im ne bi koristilo, ako bi; gen. infinitiva pokazuje nakanu i bez ἕνεκα. — ***φάρμακον***: otrov.

11. ***ἐκ τούτου***: zatim. — ***τί***: što, zašto. — 12. ***τἆλλα μιμούμενος τόν***: dok si se inače povodio za. — ***τοῦ οἴνου***: v. str. 33. b. 10. — ***ὅτι***: jer. — 13. ***μή***: v. str. 10. b. 10. (καί). — ***κρατήρ***: v. str. 82. b. 4. — 14. ***ἑστιάω***: gostim. — ***γενέθλια***: godovno. — ***καταμανθάνω***: razbiram. — 15. ***αὐτόν***: Saku. — ***ἐγχέαντα***: v. str. 3. b. 11. (βουλευομένους). — 16. ***γνώμη***: duh. — 17. ***σφάλλομαι***: uskolebam se. — 18. ***ἐκεκράγειτε***: uzvikali ste se. — 19. ***μανθάνω τινός***: razumijem koga. — ***ᾄδω***: pjevam. — ***οὐκ ἀκροώμενοι τοῦ ᾄδοντος***: premda nijeste slušali; v. str. 25. b. 7. (Κύρου). — 20. ***ᾄδειν***: dopuni τὸν ᾄδοντα. — ***λέγων***: premda je hvalio. — 21. ***ῥώμη***: snaga. — ***ἀνασταίητε***: v. str. 2. b. 10. (ἀφικνοῖτο). — ***ὀρχησόμενοι***: v. str. 2. b. 5. (ὡς). — ***μὴ ὅπως***: nesamo da nijeste mogli.

ἐν ῥυθμῷ, ἀλλ᾽ οὐδ᾽ ὀρθοῦσθαι ἐδύνασθε. ἐπελέλησθε δὲ παντάπασι σύ τε, ὅτι βασιλεὺς ἦσθα, οἵ τε ἄλλοι, ὅτι σὺ ἄρχων. τότε γὰρ δὴ ἔγωγε καὶ πρῶτον κατέμαθον, ὅτι τοῦτ᾽ ἄρ᾽ ἦν ἡ ἰσηγορία, ὃ ὑμεῖς τότ᾽ ἐποιεῖτε· οὐδέποτε γοῦν ἐσιωπᾶτε.“ καὶ ὁ Ἀστυάγης λέγει· „Ὁ δὲ σὸς πατήρ,“ ἔφη, „ὦ παῖ, πίνων οὐ μεθύσκεται;“ „Οὐ μὰ Δί᾽,“ ἔφη. „Ἀλλὰ πῶς ποιεῖ;“ „Διψῶν παύεται, ἄλλο δὲ κακὸν οὐδὲν πάσχει· οὐ γάρ, οἶμαι, ὦ πάππε, Σάκας αὐτῷ οἰνοχοεῖ.“ καὶ ἡ μήτηρ εἶπεν· „Ἀλλὰ τί ποτε σύ, ὦ παῖ, τῷ Σάκᾳ οὕτω πολεμεῖς;“ τὸν δὲ Κῦρον εἰπεῖν· „Ὅτι νὴ Δία,“ φάναι, „μισῶ αὐτόν· πολλάκις γάρ με πρὸς τὸν πάππον ἐπιθυμοῦντα προσδραμεῖν οὗτος ὁ μιαρώτατος ἀποκωλύει. ἀλλ᾽ ἱκετεύω,“ φάναι, „ὦ πάππε, δός μοι τρεῖς ἡμέρας ἄρξαι αὐτοῦ.“ καὶ τὸν Ἀστυάγην εἰπεῖν· „Καὶ πῶς ἂν ἄρξαις αὐτοῦ;“ καὶ τὸν Κῦρον φάναι· „Στὰς ἂν ὥσπερ οὗτος ἐπὶ τῇ εἰσόδῳ, ἔπειτα ὁπότε βούλοιτο παριέναι ἐπ᾽ ἄριστον, λέγοιμ᾽ ἄν, ὅτι οὔπω δυνατὸν τῷ ἀρίστῳ ἐντυχεῖν· σπουδάζει γὰρ πρός τινας· εἶθ᾽ ὁπότε ἥκοι ἐπὶ τὸ δεῖπνον, λέγοιμ᾽ ἄν, ὅτι λοῦται· ἕως παρατείναιμι τοῦτον, ὥσπερ οὗτος ἐμὲ παρατείνει ἀπὸ σοῦ κωλύων.“ τοσαύτας μὲν αὐτοῖς εὐθυμίας παρεῖχεν ἐπὶ τῷ δείπνῳ· τὰς δ᾽ ἡμέρας, εἴ τινος αἴσθοιτο δεόμενον ἢ τὸν πάππον ἢ τὸν τῆς μητρὸς ἀδελφόν, χαλεπὸν ἦν ἄλλον φθάσαι τοῦτο ποιήσαντα· ὅ τι γὰρ δύναιτο ὁ Κῦρος, ὑπερέχαιρεν αὐτοῖς χαριζόμενος.

1. **ἐν ῥυθμῷ**: skladno. — **ὀρθόομαι**: ispravim se, ravno stojim. — **ἐπιλανθάνομαι**: zaboravljam. — **παντάπασι**: sasvim. — 2. **ὅτι ἦσθα**: da si. — 3. **ἰσηγορία**: sloboda govora. — 4. **γοῦν**: bar. — **σιωπάω**: šutim. — 6. **διψῶν παύεται**: prestaje žeđati, mine ga žeđa; v. str. 47. b. 1. — 8. **τί ποτε**: štc, zašto. — **πολεμέω**: navaljujem; v. str. 4. b. 5. (Τισσαφέρνει). — 9. **ὅτι**: jer. — 10. **μιαρώτατος**: grdnik. — **ἱκετεύω**: molim. — 11. **ἄρχω**: vladam; v. str. 4. b. 4. (αὐτῶν). — 12. **ἄν**: ponavlja se u λέγοιμ᾽ ἄν. — 13. **ὁπότε βούλοιτο**: mj. εἴ ποτε βούλοιτο; v. str. 12. b. 13. (ἄ). — **ἄριστον**: doručak. — 14. **οὔπω δυνατόν**: ἐστίν, još se ne može na doručak. — **σπουδάζω πρός**: raspravljam sa. — 15. **λούομαι**: kupam se. — **ἕως**: neko vrijeme. — 16. **παρατείνω**: razapinjem, mučim. — 17. **εὐθυμία**: veselje, zabava. — **τὰς ἡμέρας**: preko dana. — 18. **τινος**: sr. rod, zavisno o δεόμενον, gen. inopiae. — **αἴσθοιτο**: v. str. 2. b. 10. (ἀφικνοῖτο) i str. 3. b. 11. (βουλευομένους). — **ἀδελφός**: Kijaksar. — 19. **φθάσαι**: teško bi drugi prije učinio; v. str. 11. b. 15. — **δύναιτο**: dopuni χαρίζεσθαι. — 20. **ὑπερέχαιρεν χαριζόμενος**: s osobitim bi veseljem ugađao, part. predikativni.

3. Kir i Kres.

(VII. 2.)

Κροῖσος μέντοι εὐθὺς ἐπὶ Σάρδεων ἔφευγε σὺν τῷ στρατεύματι· τὰ δ᾽ ἄλλα φῦλα, ὅποι ἐδύνατο προσωτάτω ἐν τῇ νυκτὶ τῆς ἐπ᾽ οἶκον ὁδοῦ, ἕκαστος ἀπεχώρει. ἐπειδὴ δὲ ἡμέρα ἐγένετο, εὐθὺς ἐπὶ Σάρδεις ἦγε Κῦρος. ὡς δ᾽ ἐγένετο πρὸς τῷ τείχει τῷ ἐν Σάρδεσι, τάς τε μηχανὰς ἀνίστη ὡς προσβαλῶν πρὸς τὸ τεῖχος καὶ κλίμακας παρεσκευάζετο. ταῦτα δὲ ποιῶν κατὰ τὰ ἀποτομώτατα δοκοῦντα εἶναι τοῦ Σαρδιανῶν ἐρύματος τῆς ἐπιούσης νυκτὸς ἀναβιβάζει Χαλδαίους τε καὶ Πέρσας. ἡγήσατο δ᾽ αὐτοῖς ἀνὴρ Πέρσης, δοῦλος γεγενημένος τῶν ἐν τῇ ἀκροπόλει τινὸς φρουρῶν καὶ καταμεμαθηκὼς κατάβασιν εἰς τὸν ποταμὸν καὶ ἀνάβασιν τὴν αὐτήν. ὡς δ᾽ ἐγένετο τοῦτο δῆλον, ὅτι εἴχετο τὰ ἄκρα, πάντες δὴ ἔφευγον οἱ Λυδοὶ ἀπὸ τῶν τειχῶν, ὅποι ἐδύνατο ἕκαστος τῆς πόλεως. Κῦρος δὲ ἅμα τῇ ἡμέρᾳ εἰσῄει εἰς τὴν πόλιν καὶ παρήγγειλεν ἐκ τῆς τάξεως μηδένα κινεῖσθαι.

Ὁ δὲ Κροῖσος κατακλεισάμενος ἐν τοῖς βασιλείοις Κῦρον ἐβόα· ὁ δὲ Κῦρος τοῦ μὲν Κροίσου φύλακας κατέλιπεν, αὐτὸς δὲ ἀπαγαγὼν πρὸς τὴν ἐχομένην ἄκραν ὡς εἶδε τοὺς μὲν Πέρσας φυλάττοντας τὴν ἄκραν, ὥσπερ ἔδει, τὰ δὲ τῶν Χαλδαίων ὅπλα ἔρημα — κατεδεδραμή-

1. **ἐπί**: prema, put. — 2. **τὸ φῦλον**: pleme. — **ὅποι προσωτάτω**: kud dalje. — **τῆς ἐπ᾽ οἶκον ὁδοῦ**: gen. part. radi προσωτάτω, kao što dolazi uz ποῦ (gdje), πόθεν (otkud), ἐγγύς (blizu), πότε (kad), πηνίκα (kad), πρῴ (rano), ὀψέ (kasno) i t. d.; putem kući. — 3. **ἕκαστος**: nastavlja se ono φῦλα. — **ἀποχωρέω**: odilazim, uzmičem. — **ἄγω**: vodim (vojsku), idem. — 4. **ἐγένετο**: bio je, dođe. — **μηχανή**: bojna sprava. — 5. **προσβάλλω**: navaljujem; v. str. 2. b. 5. — **κλῖμαξ**: ljestve. — 6. **κατὰ τά**: na onim mjestima tvrđave sardske, za koja se činilo da. — **ἀπότομος**: odrezan, strm. — 7. **ἐρύματος**: gen. part. radi superlat. — **τῆς ἐπιούσης νυκτός**: iduće noći. — **ἀναβιβάζει**: povede gore; pošlje, da se popnu. — 8. **ἡγέομαι**: v. str. 53. b. 12. — **γεγενημένος**: koji je nekad bio. — **τῶν ἐν τῇ — φρουρῶν**: gen. part. radi τινός; φρουρός: stražar. — 9. **καταμεμαθηκώς**: koji je (nekad) opazio, da. — **ποταμός**: Paktol. — 10. **εἴχετο**: prevedi 'zauzeta je'. — **ἄκρα** (τὰ i ἡ): tvrđava. — 11. **τῆς πόλεως**: u grad; v. str. 123. b. 2. — 12. **ἅμα τῇ ἡμέρᾳ**: u zoru. — 13. **κινέομαι**: mičem se.

14. **κατακλείω**: zatvoram. — **τὰ βασίλεια**: kraljevski dvor. — **βοάω τινά**: vičem koga. — 15. **τοῦ Κροίσου**: gen. obj., za Kresa, da ne pobjegne. — **ἀπάγω**: odilazim. — 16. **ἐχόμενος**: zauzet. — **φυλάττοντας**: v. str. 3. b. 11. (βουλευομένους). — 17. **ὅπλα**: mjesto (gdje stoji oružje). — **ἔρημος**: pust, prazan.

κεσαν γὰρ ἁρπασόμενοι τὰ ἐκ τῶν οἰκιῶν —, εὐθὺς συνεκάλεσεν αὐτῶν τοὺς ἄρχοντας καὶ εἶπεν αὐτοῖς ἀπιέναι ἐκ τοῦ στρατεύματος ὡς τάχιστα. „Οὐ γὰρ ἄν,“ ἔφη, „ἀνασχοίμην πλεονεκτοῦντας ὁρῶν τοὺς ἀτακτοῦντας. καὶ εὖ μέν,“ ἔφη, „ἐπίστασθε, ὅτι παρεσκευαζόμην ἐγὼ ὑμᾶς τοὺς ἐμοὶ συστρατευομένους πᾶσι Χαλδαίοις μακαριστοὺς ποιῆσαι· νῦν δ’,“ ἔφη, „μὴ θαυμάζετε, ἤν τις καὶ ἀπιοῦσιν ὑμῖν κρείττων ἐντύχῃ.“

Ἀκούσαντες ταῦτα οἱ Χαλδαῖοι ἔδεισάν τε καὶ ἱκέτευον παύσασθαι ὀργιζόμενον καὶ τὰ χρήματα πάντα ἀποδώσειν ἔφασαν. ὁ δ’ εἶπεν, ὅτι οὐδὲν αὐτῶν δέοιτο. „Ἀλλ’ εἴ με,“ ἔφη, „βούλεσθε παύσασθαι ἀχθόμενον, ἀπόδοτε πάντα, ὅσα ἐλάβετε, τοῖς διαφυλάξασι τὴν ἄκραν. ἢν γὰρ αἴσθωνται οἱ ἄλλοι στρατιῶται, ὅτι πλεονεκτοῦσιν οἱ εὔτακτοι γενόμενοι, πάντα μοι καλῶς ἕξει.“ οἱ μὲν δὴ Χαλδαῖοι οὕτως ἐποίησαν, ὡς ἐκέλευσεν ὁ Κῦρος· καὶ ἔλαβον οἱ πειθόμενοι πολλὰ καὶ παντοῖα χρήματα. ὁ δὲ Κῦρος καταστρατοπεδεύσας τοὺς ἑαυτοῦ, ὅπου ἐδόκει τὸ ἐπιτηδειότατον εἶναι τῆς πόλεως, μένειν ἐπὶ τοῖς ὅπλοις παρήγγειλε καὶ ἀριστοποιεῖσθαι.

Ταῦτα δὲ διαπραξάμενος ἀγαγεῖν ἐκέλευσεν αὐτῷ τὸν Κροῖσον. ὁ δὲ Κροῖσος ὡς εἶδε τὸν Κῦρον· „Χαῖρε, ὦ δέσποτα,“ ἔφη· „τοῦτο γὰρ ἡ τύχη καὶ ἔχειν τὸ ἀπὸ τοῦδε δίδωσι σοὶ καὶ ἐμοὶ προσαγορεύειν.“ „Καὶ σύ γε,“ ἔφη, „ὦ Κροῖσε, ἐπείπερ ἄνθρωποί γέ ἐσμεν ἀμφότεροι. ἀτάρ,“ ἔφη, „ὦ Κροῖσε, ἆρ’ ἄν τι μοι ἐθελήσαις συμβουλεῦσαι;“ „Καὶ βουλοίμην γ’ ἄν,“ ἔφη, „ὦ Κῦρε, ἀγαθόν τί σοι εὑρεῖν· τοῦτο γὰρ ἂν οἶμαι ἀγαθὸν κἀμοὶ γενέσθαι.“ „Ἄκουσον τοίνυν,“ ἔφη, „ὦ Κροῖσε·

1. **ἁρπασόμενοι**: v. str. 2. b. 5. (ὡς). — **τὰ ἐκ**: mj. τὰ ἐν οἰκίαις; što je u kućama. — 3. **ἀνασχοίμην ὁρῶν**: part. pred., ne bih podnio gledati. — **πλεονεκτέω**: bogatim se. — **ἀτακτέω**: neuredan sam, ne držim se reda. — 4. **τοὺς ἐμοί**: koji ste sa mnom išli na vojsku. — 5. **μακαριστός τινι**: sretnim držan od; najsretnijima od svih. — 6. **ἤν**: ἐάν; v. str. 2. b. 8. — **κρείττων**: jači. — **ἐντυγχάνω τινί**: namjerim se na.

7. **ἱκετεύω**: molim. — **παύσασθαι ὀργιζόμενον**: v. str. 47. b. 1. — 9. **αὐτῶν**: χρημάτων, gen. inopiae; da ih nimalo ne treba. — **δέοιτο**: v. str. 2. b. 4. (ὡς). — 10. **διαφυλάξασι**: onima, koji su bez prekida čuvali. — 11. **οἱ εὔτακτοι γενόμενοι**: koji su bili uredni, poslušni. — 12. **καλῶς ἕξει**: v. str. 3. b. 3. (ἐνοΐκῶς). — 13. **οἱ πειθόμενοι**: poslušni. — **παντοῖος**: svakojaki. — 14. **καταστρατοπεδεύω τινά**: dajem komu, da se utabori. — **ὅπου ἐδόκει**: gdje mu se u gradu činilo da je najzgodnije; v. str. 123. b. 2. (τῆς). — 15. **ἐπὶ τοῖς ὅπλοις**: na svom mjestu.

18. **χαῖρε**: zdravo. — 19. **τὸ ἀπὸ τοῦδε**: odsad; to (pozdrav ‘gospodaru!’) daje tebi sreća, da odsad imaš, a meni, da te ovako pozdravljam. — 20. **σύ γε**: dopuni χαῖρε. — **ἐπείπερ**: kad, jer. — 21. **ἀτάρ**: ali. — 23. **ἄν γενέσθαι**: može i meni biti; v. str. 9. b. 8. (ἄν).

ἐγὼ γὰρ ὁρῶν τοὺς στρατιώτας πολλὰ πεπονηκότας καὶ πολλὰ κεκινδυνευκότας καὶ νῦν νομίζοντας πόλιν ἔχειν τὴν πλουσιωτάτην ἐν τῇ Ἀσίᾳ μετὰ Βαβυλῶνα, ἀξιῶ ὠφεληθῆναι τοὺς στρατιώτας. γιγνώσκω γάρ,“ ἔφη, „ὅτι, εἰ μή τινα καρπὸν λήψονται τῶν πόνων, οὐ δυνήσομαι αὐτοὺς πολὺν χρόνον πειθομένους ἔχειν. διαρπάσαι μὲν οὖν αὐτοῖς ἐφεῖναι τὴν πόλιν οὐ βούλομαι· τήν τε γὰρ πόλιν νομίζω ἂν διαφθαρῆναι, ἔν τε τῇ ἁρπαγῇ εὖ οἶδ’ ὅτι οἱ πονηρότατοι πλεονεκτήσειαν ἄν.“

Ἀκούσας ταῦτα ὁ Κροῖσος ἔλεξεν· „Ἀλλ’ ἐμέ,“ ἔφη, „ἔασον λέξαι, πρὸς οὓς ἂν ἐγὼ Λυδῶν ἐθέλω, ὅτι διαπέπραγμαι παρὰ σοῦ μὴ ποιῆσαι ἁρπαγὴν μηδὲ ἐᾶσαι ἀφανισθῆναι παῖδας καὶ γυναῖκας· ὑπεσχόμην δέ σοι ἀντὶ τούτων ἦ μὴν παρ’ ἑκόντων Λυδῶν ἔσεσθαι πᾶν, ὅ τι καλὸν κἀγαθόν ἐστιν ἐν Σάρδεσιν. ἢ γὰρ ταῦτα ἀκούσωσιν, οἶδ’ ὅτι ἥξει σοι πᾶν, ὅ τι ἐστὶν ἐνθάδε καλὸν κτῆμα ἀνδρὶ καὶ γυναικί· καὶ ὁμοίως εἰς νέωτα πολλῶν καὶ καλῶν πάλιν σοι πλήρης ἡ πόλις ἔσται· ἢν δὲ διαρπάσῃς, καὶ αἱ τέχναι σοι, ἅς πηγάς φασι τῶν καλῶν εἶναι, διεφθαρμέναι ἔσονται. ἐξέσται δέ σοι ἰδόντι τὰ ἐλθόντα ἔτι καὶ περὶ τῆς ἁρπαγῆς βουλεύσασθαι. πρῶτον δ’,“ ἔφη, „ἐπὶ τοὺς ἐμοὺς θησαυροὺς πέμπε καὶ παραλαμβανόντων οἱ σοὶ φύλακες παρὰ τῶν ἐμῶν φυλάκων.“ ταῦτα μὲν δὴ ἅπαντα οὕτω συνῄνεσε ποιεῖν ὁ Κῦρος, ὥσπερ ἔλεξεν ὁ Κροῖσος.

„Τάδε δέ μοι πάντως,“ ἔφη, „Κροῖσε, λέξον, πῶς σοι ἀποβέβηκε τὰ ἐκ τοῦ ἐν Δελφοῖς χρηστηρίου· σοὶ γὰρ δὴ λέγεται πάνυ γε τεθεραπεῦσθαι ὁ Ἀπόλλων καὶ σὲ πάντα ἐκείνῳ πειθόμενον πράττειν.“

3. **μετά**: iza; v. str. 8. b. 14. — **ἀξιόω**: tražim, želim. — **ὠφεληθῆναι τούς**: da se pomogne vojnicima; v. str. 4. b. 14. (τούς). — 5. **πειθομένους ἔχειν**: držati u stezi. — **διαρπάσαι**: zavisno o ἐφεῖναι (ἐφίημι, dopuštam) a ἐφεῖναι o βούλομαι. — 6. **ἂν διαφθαρῆναι**: da bi propao. — **εὖ οἶδ’ ὅτι**: v. str. 15. b. 1.

9. **πρὸς οὓς ἂν Λυδῶν**: s Liđanima, s kojima; v. str. 9. b. 4. (ἄν). — **ὅτι**: zavisno o λέξαι. — **διαπέπραγμαι**: ishodio sam. — 10. **ἀφανίζω**: ništim, ovdje ‘vodim u ropstvo’. — 11. **ἀντὶ τούτων**: mjesto toga. — **ἦ μήν**: zaista. — **παρ’ ἑκόντων — ἔσεσθαι**: da će Liđani drage volje dati; v. str. 5. b. 2. (ἑκών). — **οἶδ’ ὅτι**: v. str. 15. b. 1. — 14. **εἰς νεώτα**: do godine. — **πλήρης**: pun, s gen. copiae. — 15. **τὰ καλά**: sreća, blagostanje. — 16. **ἰδόντι**: kad vidiš, što će se donijeti, još ćeš moći; v. str. 9. b. 1. (προδόντα). — 18. **παραλαμβανόντων**: imperat. — 19. **συναινέω**: odobravam, obećajem.

21. **πάντως**: svakako. — **ἀποβαίνω**: događam se, ispunjam se. — 22. **τὰ ἐκ τοῦ — χρηστηρίου**: riječi proročišta delfijskoga. — **σοί**: ὑπὸ σοῦ, sastavi s τεθεραπεῦσθαι; da si štovao i da sve radiš.

„Ἐβουλόμην ἄν,“ ἔφη, „ὦ Κῦρε, οὕτως ἔχειν· νῦν δὲ πάντα τἀναντία εὐθὺς ἐξ ἀρχῆς πράττων προσηνέχθην τῷ Ἀπόλλωνι.“ „Πῶς δέ;“ ἔφη ὁ Κῦρος· „δίδασκε· πάνυ γὰρ παράδοξα λέγεις.“ „Ὅτι πρῶτον μέν,“ ἔφη, „ἀμελήσας ἐρωτᾶν τὸν θεόν, εἴ τι ἐδεόμην, ἀπεπειρώμην αὐτοῦ, εἰ δύναιτο ἀληθεύειν. τοῦτο δ᾽,“ ἔφη, „μὴ ὅτι θεός, ἀλλὰ καὶ ἄνθρωποι καλοὶ κἀγαθοί, ἐπειδὰν γνῶσιν ἀπιστούμενοι, οὐ φιλοῦσι τοὺς ἀπιστοῦντας. ἐπεὶ μέντοι ἔγνω καὶ μάλα ἄτοπα ἐμοῦ ποιοῦντος καὶ πρόσω Δελφῶν ἀπέχοντος, οὕτω δὴ πέμπω περὶ παίδων. ὁ δέ μοι τὸ μὲν πρῶτον οὐδ᾽ ἀπεκρίνατο· ἐπεὶ δ᾽ ἐγὼ πολλὰ μὲν πέμπων ἀναθήματα χρυσᾶ, πολλὰ δ᾽ ἀργυρᾶ, πάμπολλα δὲ θύων ἐξιλασάμην ποτὲ αὐτόν, ὡς ἐδόκουν, τότε δή μοι ἀποκρίνεται ἐρωτῶντι, τί ἄν μοι ποιήσαντι παῖδες γένοιντο· ὁ δὲ εἶπεν, ὅτι ἔσοιντο. καὶ ἐγένοντο μέν — οὐδὲ γὰρ οὐδὲ τοῦτο ἐψεύσατο —, γενόμενοι δὲ οὐδὲν ὤνησαν. ὁ μὲν γὰρ κωφὸς ὢν διετέλει, ὁ δὲ ἄριστος γενόμενος ἐν ἀκμῇ τοῦ βίου ἀπώλετο. πιεζόμενος δὲ ταῖς περὶ τοὺς παῖδας συμφοραῖς πάλιν πέμπω καὶ ἐπερωτῶ τὸν θεόν, τί ἂν ποιῶν τὸν λοιπὸν βίον εὐδαιμονέστατα διατελέσαιμι· ὁ δέ μοι ἀπεκρίνατο·

Σαυτὸν γιγνώσκων εὐδαίμων, Κροῖσε, περάσεις.

ἐγὼ δ᾽ ἀκούσας τὴν μαντείαν ἥσθην· ἐνόμιζον γὰρ τὸ ῥᾷστόν μοι αὐτὸν προστάξαντα τὴν εὐδαιμονίαν διδόναι. ἄλλους μὲν γὰρ γιγνώσκειν τοὺς μὲν

1. **ἐβουλόμην ἄν**: vellem, htio bih; v. str. 54. b. 9. (ἄν). — **ἔχειν**: v. str. 3. b. 3. (ἐνοϊκῶς). — **νῦν δέ**: ali ovako. — 2. **ἀρχή**: početak. — **προσφέρομαί τινι**: utječem se komu; odmah od početka, kad se zatekoh Apolonu, radio sam protivno t. j. nijesam ga štovao. — 3. **διδάσκω**: putim, kazujem. — **παράδοξος**: čudan. — **ὅτι**: jer. — 4. **εἴ τι ἐδεόμην**: ako sam što trebao; za ono, što sam trebao. — **ἀποπειράομαι**: iskušavam; v. str. 17. b. 9. — 5. **εἰ**: da li; v. str. 11. b. 7. (εἴη). — **ἀληθεύω**: govorim istinu. — **τοῦτο**: t. j. da se ne vjeruje, pripada rečenici ἐπειδάν; kad to opaze, da im se ne vjeruje. — **μὴ ὅτι**: nesamo. — 7. **ἐμοῦ ποιοῦντος**: v. str. 25. b. 7. (Κύρου). — **ἄτοπος**: lud; kuhao je janjetine i mesa od kornjače i dao pitati preko svojih ljudi, što ončas radi. — **καὶ πρόσω**: makar sam i daleko od Delfa bio. — 8. **οὕτω δὴ πέμπω**: utom dakle pošljem (pitati) radi. — 9. **ἀνάθημα**: zavjetni dar. — 10. **πάμπολυς**: veoma mnogi. — **ἐξιλάσκομαι**: umilostivim. — **ποτέ**: najposlije ipak. — 11. **τί ἄν**: što bih učinio, te bi mi se. — 12. **ἔσοιντο**: da ću ih imati; v. str. 2. b. 4. (ὡς). — **οὐδὲ γὰρ οὐδέ**: prvo οὐδέ sastavi s ἐψεύσατο, drugo s τοῦτο; ta ni; v. str. 9. b. 4. — 13. **κωφός**: nijem. — **διετέλει**: v. str. 112. b. 22. — 14. **ἀκμή**: cvijet; u lovu jedan promaši zvijer i ubije Kresova sina. — **πιέζω**: tištim. — **ταῖς περί**: nesrećom djece svoje. — 15. **τί ἄν**: što bi radio, da provedem.

17. **περάω**: prevaljujem, provodim. — 18. **τὸ ῥᾷστον**: da mi daje sreću, a naložio mi je, što je najlakše. — 19. **ἄλλους**: ta druge poznavati — jedne možeš (οἷόν ἐστιν), druge ne.

οἷόν τ᾽ εἶναι, τοὺς δ᾽ οὔ· ἑαυτὸν δέ, ὅστις ἐστί, πάντα τινὰ ἐνόμιζον ἄνθρωπον εἰδέναι. καὶ τὸν μετὰ ταῦτα δὴ χρόνον, ἕως μὲν εἶχον ἡσυχίαν, οὐδὲν ἐνεκάλουν μετὰ τὸν τοῦ παιδὸς θάνατον ταῖς τύχαις· ἐπειδὴ δὲ ἀνεπείσθην ὑπὸ τοῦ Ἀσσυρίου ἐφ᾽ ὑμᾶς στρατεύεσθαι, εἰς πάντα κίνδυνον ἦλθον· ἐσώθην μέντοι οὐδὲν κακὸν λαβών. οὐκ αἰτιῶμαι δὲ οὐδὲ τάδε τὸν θεόν. ἐπεὶ γὰρ ἔγνων ἐμαυτὸν μὴ ἱκανὸν ὑμῖν μάχεσθαι, ἀσφαλῶς σὺν τῷ θεῷ ἀπῆλθον καὶ αὐτὸς καὶ οἱ σὺν ἐμοί. νῦν δ᾽ αὖ πάλιν ὑπό τε πλούτου τοῦ παρόντος διαθρυπτόμενος καὶ ὑπὸ τῶν δεομένων μου προστάτην γενέσθαι καὶ ὑπὸ τῶν δώρων, ὧν ἐδίδοσάν μοι, καὶ ὑπ᾽ ἀνθρώπων, οἵ με κολακεύοντες ἔλεγον, ὡς, εἰ ἐγὼ ἐθέλοιμι ἄρχειν, πάντες ἂν ἐμοὶ πείθοιντο καὶ μέγιστος ἂν εἴην ἀνθρώπων, ὑπὸ τοιούτων δὲ λόγων ἀναφυσώμενος, ὡς εἵλοντό με πάντες οἱ κύκλῳ βασιλεῖς προστάτην τοῦ πολέμου, ὑπεδεξάμην τὴν στρατηγίαν, ὡς ἱκανὸς ὢν μέγιστος γενέσθαι, ἀγνοῶν ἄρα ἐμαυτόν, ὅτι σοὶ ἀντιπολεμεῖν ἱκανὸς ᾤμην εἶναι, πρῶτον μὲν ἐκ θεῶν γεγονότι, ἔπειτα δὲ διὰ βασιλέων πεφυκότι, ἔπειτα δ᾽ ἐκ παιδὸς ἀρετὴν ἀσκοῦντι· τῶν δ᾽ ἐμῶν προγόνων ἀκούω τὸν πρῶτον βασιλεύσαντα ἅμα τε βασιλέα καὶ ἐλεύθερον γενέσθαι. ταῦτ᾽ οὖν ἀγνοήσας δικαίως,“ ἔφη, „ἔχω τὴν δίκην. ἀλλὰ νῦν δή,“ ἔφη, „ὦ Κῦρε, γιγνώσκω μὲν ἐμαυτόν· σὺ δ᾽,“ ἔφη, „δοκεῖς ἔτι ἀληθεύσειν τὸν Ἀπόλλω, ὡς εὐδαίμων ἔσομαι γιγνώσκων ἐμαυτόν; σὲ δὲ ἐρωτῶ διὰ τοῦτο, ὅτι

1. **εἶναι**: zavisno o ἐνόμιζον. — **ἑαυτόν**: v. str. 20. b. 12. — **ὅστις**: kakav. — **πάντα τινά**: svaki. — 2. **τὸν μετὰ ταῦτα χρόνον**: u potonje vrijeme. — **ἕως**: dok. — 3. **ἐγκαλέω τινί**: tužim se na. — 5. **αἰτιάομαί τινά τι**: krivim koga rašta. — **τάδε**: ταῦτα. — 6. **ἱκανός**: vrstan, podoban. — **ὑμῖν**: v. str. 4. b. 5. (Τισσαφέρνει). — 7. **σὺν τῷ θεῷ**: v. str. 47. b. 17. — **οἱ σὺν ἐμοί**: moja momčad. — **ὑπό**: radi. — 8. **παρών**: sadašnji. — **διαθρύπτομαι**: razbluđujem se; prevedi ‘uzoholivši se’. — **δέομαί τινος**: molim koga. — 9. **ὤν**: ἅ; v. str. 4. b. 8. (ὧν). — 10. **κολακεύω τινά**: laskam komu. — **ἐθέλοιμι**: v. str. 12. b. 13. (ἅ). — 12. **ἀναφυσάω**: napuhavam; ἀναφυσώμενος: nadut. — **ὡς**: kad. — **κύκλῳ**: naokolo. — 13. **ὡς ὤν**: kao da sam. — 14. **ἀγνοέω**: ne poznam. — **ἄρα**: dakle. — **ὅτι**: jer. — 15. **πρῶτον**: s tobom, koji si prije svega potekao od bogova, zatim se rodio od stara roda kraljevskoga, a onda. — 16. **ἐκ παιδός**: od djetinjstva. — **ἀρετή**: hrabrost. — **ἀσκέω τι**: vježbam se u. — **τῶν δ᾽ ἐμῶν**: gen. part. radi τὸν πρῶτον βασιλεύσαντα; za prvoga od mojih pređa, koji se zakraljio, čujem da je postao u jedan mah kralj i slobodnjak t. j. doonda je bio rob; Gigo, pradjed Kresov, bio je tjelesni stražar ili pastir kralja Kandaula. — 17. **ταῦτα ἀγνοήσας**: jer nijesam to znao. — 18. **δικαίως**: sastavi s ἔχω. — **τὴν δίκην**: svoju kazan; v. str. 1. b. 3. — 19. **δοκεῖς**: misliš li. — **ἔτι**: sastavi s ἀληθεύσειν. — 20. **ὡς**: te. — **γιγνώσκων**: kad, jer.

ἄριστ᾽ ἄν μοι δοκεῖς εἰκάσαι τοῦτο ἐν τῷ παρόντι· καὶ γὰρ δύνασαι ποιῆσαι.“

Καὶ ὁ Κῦρος εἶπε· „Βουλήν μοι δὸς περὶ τούτου, ὦ Κροῖσε· ἐγὼ γάρ σου ἐννοῶν τὴν πρόσθεν εὐδαιμονίαν οἰκτείρω τέ σε καὶ ἀποδίδωμι ἤδη γυναῖκά τε ἔχειν, ἥν εἶχες, καὶ τὰς θυγατέρας — ἀκούω γάρ σοι εἶναι — καὶ τοὺς φίλους καὶ τοὺς θεράποντας καὶ τράπεζαν, σὺν οἵαπερ ἐζῆτε· μάχας δέ σοι καὶ πολέμους ἀφαιρῶ.“ „Μὰ Δία μηδὲν τοίνυν,“ ἔφη ὁ Κροῖσος, „σὺ ἐμοὶ ἔτι βουλεύου ἀποκρίνασθαι περὶ τῆς ἐμῆς εὐδαιμονίας· ἐγὼ γὰρ ἤδη σοι λέγω, ἢν ταῦτά μοι ποιήσῃς, ἃ λέγεις, ὅτι, ἥν ἄλλοι τε μακαριωτάτην ἐνόμιζον εἶναι βιοτὴν καὶ ἐγὼ συνεγίγνωσκον αὐτοῖς, ταύτην καὶ ἐγὼ νῦν ἔχων διάξω.“ καὶ ὁ Κῦρος εἶπε· „Τίς δὴ ὁ ἔχων ταύτην τὴν μακαρίαν βιοτήν;“ „Ἡ ἐμὴ γυνή,“ εἶπεν, „ὦ Κῦρε· ἐκείνη γὰρ τῶν μὲν ἀγαθῶν πασῶν ἐμοὶ τὸ ἴσον μετεῖχε, φροντίδων δέ, ὅπως ταῦτα ἔσται, καὶ πολέμου καὶ μάχης οὐ μετῆν αὐτῇ. οὕτω δὴ καὶ σὺ δοκεῖς ἐμὲ κατασκευάζειν ὥσπερ ἐγώ, ἥν ἐφίλουν μάλιστα ἀνθρώπων, ὥστε τῷ Ἀπόλλωνι ἄλλα μοι δοκῶ χαριστήρια ὀφειλήσειν.“ ἀκούσας δ᾽ ὁ Κῦρος τοὺς λόγους αὐτοῦ ἐθαύμασε μὲν τὴν εὐθυμίαν, ἦγε δὲ τὸ λοιπόν, ὅποι καὶ αὐτὸς πορεύοιτο, εἴτε ἄρα καὶ χρήσιμόν τι νομίζων αὐτὸν εἶναι εἴτε καὶ ἀσφαλέστερον οὕτως ἡγούμενος.

1. ***ἄν***: v. str. 9. b. 8. (ἄν). — ***εἰκάζω***: pogađam. — ***ἐν τῷ παρόντι***: ovčas.

3. ***βουλήν μοι δός***: daj da razmislim. — 4. ***σου***: sastavi s τὴν πρόσθεν εὐδαμονίαν, predašnju sreću. — ***ἐννοέω***: uzimam na um. — ***οἰκτείρω***: žalim. — 5. ***ἤδη***: već, sada. — ***ἔχειν***: da imaš. — 6. ***θεράπων***: sluga. — ***τράπεζα***: stol. — ***σὺν οἵαπερ***: za kakvim t. j. živite onako, kako ste dosad. — 7. ***μηδὲν ἔτι***: više ne razmišljaj, da meni odgovoriš. — 10. ***ὅτι***: zavisno o λέγω. — ***βιοτή***: život. — ***συγγιγνώσκω τινί***: slažem se s kim. — 11. ***διάξω***: v. str. 112. b. 20. — 12. ***τίς δή***: dopuni ἐστίν. — 13. ***τὸ ἴσον μετέχω τινός***: imam jednaki dio u; v. str. 95. b. 2. — 14. ***ὅπως***: zavisno o φροντίδων (φροντίς, briga); v. str. 2. b. 7. — ***μέτεστί μοί τινος***: v. str. 47. b. 5. — 15. ***κατασκευάζειν***: da i ti meni priređuješ život onaki, kao što sam ja onoj, koju. — 16. ***χαριστήρια***: ἱερά, žrtva zahvalnica. — ***ὀφείλω***: dugujem. — 18. ***εὐθυμία***: dobra volja, radost. — ***ἦγε***: Kresa. — ***τὸ λοιπόν***: v. str. 50. b. 10. — ***πορεύοιτο***: v. str. 2. b. 10. (ἀφικνοῖτο). — ***εἴτε — εἴτε***: bilo — ili. — 19. ***νομίζων***: zato, što je držao. — ***ἡγέομαι***: mislim.

Iz „Spomena Sokratovih“.

1. Sreća života.

(I. 6., 1.—10.)

Ἄξιον δ᾽ αὐτοῦ καί, ἃ πρὸς Ἀντιφῶντα τὸν σοφιστὴν διελέχθη, μὴ παραλιπεῖν. ὁ γὰρ Ἀντιφῶν ποτε βουλόμενος τοὺς συνουσιαστὰς αὐτοῦ παρελέσθαι προσελθὼν τῷ Σωκράτει παρόντων αὐτῶν ἔλεξε τάδε· „Ὦ Σώκρατες, ἐγὼ μὲν ᾤμην τοὺς φιλοσοφοῦντας εὐδαιμονεστέρους χρῆναι γίγνεσθαι. σὺ δέ μοι δοκεῖς τἀναντία τῆς φιλοσοφίας ἀπολελαυκέναι. ζῇς γοῦν οὕτως, ὡς οὐδ᾽ ἂν εἷς δοῦλος ὑπὸ δεσπότῃ διαιτώμενος μείνειε· σῖτά τε σιτεῖ καὶ ποτὰ πίνεις τὰ φαυλότατα, καὶ ἱμάτιον ἠμφίεσαι

1. ***ἄξιον***: ἐστίν. — ***αὐτοῦ***: misli Sokrata, gen. subj. zavisan o ***ἃ διελέχθη***, kao da stoji τοὺς λόγους αὐτοῦ; riječi njegove, što ih je govorio sa. — ***Ἀντιφῶντα***: Antifont, mlađi sofist, koji nije vjerovao u providnost božju ni u život duše poslije smrti; učio je, da treba sreću tražiti u užitku. — ***τὸν σοφιστήν***: sofisti su putovali od grada do grada i učili mudrost za novac. Njima je čovjek μέτρον πάντων t. j. sve je onako, kako se komu čini; potom nema istine, koja bi za sve ljude vrijedila; što se jednomu čini toplo, za drugoga može biti hladno. Obrazovaniji ljudi moraju nastojati da svoje 'mnijenje' nature drugima; to zovu sofisti τὸν ἥττω λόγον κρείττω ποιεῖν (slabiju stvar prikazati jačom). To može čovjek okretnim govorom, zato su se sofisti osobito bavili naukom govorničkom. Sokrat je nasuprot učio, da je ono, što je uistinu dobro, lijepo i t. d., uvijek i za svakoga dobro, lijepo i t. d., t. j. da ima vječnih, nepromjenljivih istina; on je mrzio na dugačke, kićene govore sofistâ i volio na kratko pitanje kratak odgovor. — 2. ***μὴ παραλιπεῖν***: ne mimoići, zavisno o ἄξιον. — ***συνουσιαστής***: drug. — 3. ***παραιρέω***: pridobijam. — ***παρόντων αὐτῶν***: u prisuću njihovu, pred njima. — 5. ***τἀναντία***: protivno; v. str. 8. b. 11. (τὰ ἄλλα). — ***τῆς φιλοσοφίας***: sastavi s ἀπολελαυκέναι; ***ἀπολαύω τινός***: uživam od; v. str. 33. b. 10. — 6. ***γοῦν***: baš. — ***ὡς οὐδ᾽ ἂν εἷς***: kako ne bi ni jedan živio (διαιτάομαι), te ostao. — 7. ***σῖτα σιτέομαι***: hranim se hranom. — ***ἀμφιέννυμί τινά τι***: oblačim komu što; stvar ostaje u pas. u ak., lice prelazi u nom.

οὐ μόνον φαῦλον, ἀλλὰ τὸ αὐτὸ θέρους τε καὶ χειμῶνος, ἀνυπόδητός τε καὶ ἀχίτων διατελεῖς. καὶ μὴν χρήματά γε οὐ λαμβάνεις, ἃ καὶ κτωμένους εὐφραίνει καὶ κεκτημένους ἐλευθεριώτερόν τε καὶ ἥδιον ποιεῖ ζῆν. εἰ οὖν, ὥσπερ καὶ τῶν ἄλλων ἔργων οἱ διδάσκαλοι τοὺς μαθητὰς μιμητὰς ἑαυτῶν ἀποδεικνύουσιν, οὕτω καὶ σὺ τοὺς συνόντας διαθήσεις, νόμιζε κακοδαιμονίας διδάσκαλος εἶναι."

Καὶ ὁ Σωκράτης πρὸς ταῦτα εἶπε· „Δοκεῖς μοι, ὦ Ἀντιφῶν, ὑπειληφέναι με οὕτως ἀνιαρῶς ζῆν, ὥστε πέπεισμαι σὲ μᾶλλον ἀποθανεῖν ἂν ἑλέσθαι ἢ ζῆν ὥσπερ ἐγώ. ἴθι οὖν ἐπισκεψώμεθα, τί χαλεπὸν ᾔσθησαι τοὐμοῦ βίου. πότερον, ὅτι τοῖς μὲν λαμβάνουσιν ἀργύριον ἀναγκαῖόν ἐστιν ἀπεργάζεσθαι τοῦτο, ἐφ' ᾧ ἂν μισθὸν λάβωσιν, ἐμοὶ δὲ μὴ λαμβάνοντι οὐκ ἀνάγκη διαλέγεσθαι, ᾧ ἂν μὴ βούλωμαι; ἢ τὴν δίαιτάν μου φαυλίζεις ὡς ἧττον μὲν ὑγιεινὰ ἐσθίοντος ἐμοῦ ἢ σοῦ, ἧττον δὲ ἰσχὺν παρέχοντα; ἢ ὡς χαλεπώτερα πορίσασθαι τἀμὰ διαιτήματα τῶν σῶν διὰ τὸ σπανιώτερά τε καὶ πολυτελέστερα εἶναι; ἢ ὡς ἡδίω σοι, ἃ σὺ παρασκευάζει, ὄντα ἢ ἐμοί, ἃ ἐγώ; οὐκ οἶσθ', ὅτι ὁ μὲν ἥδιστα ἐσθίων ἥκιστα ὄψου δεῖται, ὁ δὲ ἥδιστα πίνων ἥκιστα τοῦ μὴ παρόντος ἐπιθυμεῖ ποτοῦ; τά γε μὴν ἱμάτια οἶσθ' ὅτι οἱ μεταβαλλόμενοι ψύχους καὶ θάλπους ἕνεκα μεταβάλλονται, καὶ ὑποδήματα ὑποδοῦνται, ὅπως μὴ διὰ τὰ λυποῦντα τοὺς πόδας κωλύωνται πορεύεσθαι· ἤδη οὖν ποτε ᾔσθου ἐμὲ ἢ διὰ ψῦχος μᾶλλόν του ἔνδον μένοντα ἢ διὰ θάλπος μαχόμενόν τῳ περὶ σκιᾶς, ἢ διὰ τὸ ἀλγεῖν τοὺς πόδας οὐ βαδίζοντα, ὅποι ἂν βούλωμαι; οὐκ οἶσθ', ὅτι οἱ φύσει ἀσθενέστατοι τῷ σώματι μελετήσαντες τῶν ἰσχυροτάτων ἀμελησάντων κρείττους τε γίγνονται πρὸς ἃ ἂν μελετήσωσι καὶ ῥᾷον αὐτὰ φέρουσιν; ἐμὲ δὲ ἄρα οὐκ οἴει τῷ σώματι ἀεὶ τὰ συντυγχάνοντα μελετῶντι καρτερεῖν πάντα ῥᾷον φέρειν σοῦ μὴ μελετῶντος; τοῦ δὲ μὴ δουλεύειν γαστρὶ μηδ' ὕπνῳ καὶ λαγνείᾳ οἴει τι ἄλλο αἰτιώτερον εἶναι ἢ τὸ ἕτερα ἔχειν τούτων ἡδίω, ἃ οὐ μόνον ἐν χρείᾳ ὄντα εὐφραίνει, ἀλλὰ καὶ ἐλπίδας παρέχοντα ὠφελήσειν ἀεί; καὶ μὴν τοῦτό γε οἶσθα, ὅτι οἱ μὲν οἰόμενοι μηδὲν εὖ πράττειν οὐκ εὐφραίνονται, οἱ δὲ ἡγούμενοι καλῶς προχωρεῖν ἑαυτοῖς ἢ γεωργίαν ἢ ναυκληρίαν ἢ ἄλλ', ὅ τι ἂν τυγχάνωσιν ἐργαζόμενοι, ὡς εὖ πράττοντες εὐφραίνονται· οἴει οὖν ἀπὸ πάντων τούτων τοσαύτην ἡδονὴν εἶναι, ὅσην ἀπὸ τοῦ ἑαυτόν τε ἡγεῖσθαι βελτίω γίγνεσθαι καὶ φίλους ἀμείνους κτᾶσθαι; ἐγὼ τοίνυν διατελῶ ταῦτα νομίζων. ἐὰν δὲ δὴ φίλους

1. **τὸ αὐτό**: dopuni ἠμφίεσαι. — **θέρους**: gen. temp., ljeti. — **ἀνυπόδητος**: bosonog. — 2. **ἀχίτων**: bez košulje. — **διατελεῖς**: dopuni ὤν; v. str. 112. b. 22. — **καὶ μήν**: pa i. — **λαμβάνεις**: sofist Hipija dobio je za kratko vrijeme u Siciliji do 150 mina (11.790 K), od toga u mjestancu Iniku 20 mina (1.572 K). — 3. **εὐφραίνω**: veselim; koji (novac) veseli ovamo ljude, kad ga stječu, a onamo, kad ga imadu, čini, da oni. — 4. **τῶν ἄλλων ἔργων**: zavisno o μιμητάς; čine (ἀποδεικνύουσιν mj. ἀποδεικνύασιν), te se učenici i u ostalim poslima povode za njima. — 5. **οὕτω διατίθημι**: tako udešavam. — **οἱ συνόντες**: drugovi. — 6. **νόμιζε εἶναι**: vjeruj, da si. — **κακοδαιμονία**: nesreća, bijeda.

8. **ὑπείληφα**: shvatio sam, mislim. — **ἀνιαρῶς**: neugodno, kukavno. — **πέπεισμαι**: uvjeren sam. — **μᾶλλον αἱρέομαι**: volim. — 9. **ἄν**: ἑλέσθαι; v. str. 9. b. 8. (ἄν). — **ἴθι**: hajde. — 10. **τοὐμοῦ βίου**: τοῦ ἐμοῦ βίου, gen. part. radi τί; što si mučno vidio u mojem. — **πότερον, ὅτι**: da li (si vidio) to, što. — 11. **ἀπεργάζομαι**: odradim. — **ἐφ' ᾧ ἄν**: za što; v. str. 11. b. 2. — 12. **μή**: jer je u značenju hipotetske rečenice. — **ἤ**: nastavlja se ono πότερον. — **δίαιτα**: življenje, život. — 13. **φαυλίζω**: kudim. — **ὡς ἐσθίοντος**: jer tobože jedem. — **ἧττον ὑγιεινά**: hranu manje zdravu. — 14. **παρέχοντα**: hranu, koja manje podaje snage. — **ὡς χαλεπώτερα** — **διαιτήματα**: dopuni ὄντα; jer je tobože teže dobaviti. — **διαίτημα**: život, jelo. — **τῶν σῶν**: διαιτημάτων, gen. comparat. — 15. **διὰ τὸ — εἶναι**: zato, što su (tvoja jela). — **σπάνιος**: rijedak. — **πολυτελής**: skup. — 16. **παρασκευάζει**: dobavljaš sebi. — **ἃ ἐγώ**: dopuni παρασκευάζομαι. — 17. **ὄψον**: v. str. 114. b. 1. — **δέομαι**: trebam, s gen. inopiae.

1. **ἐπιθυμέω**: v. str. 32. b. 11. — **οἶσθ' ὅτι**: v. str. 15. b. 1. — **μεταβάλλομαι**: mijenjam sebi. — 2. **ψῦχος**: v. str. 47. b. 16. — **ὑπόδημα**: obuća. — **ὑποδέομαι**: obuvam sebi. — 3. **διὰ τὰ λυποῦντα τούς**: radi onoga, što vrijeđa noge. — 4. **του**: τινός, većma nego itko. — **ἔνδον**: kod kuće. — 5. **τῳ**: τινί; v. str. 4. b. 5. (Τισσαφέρνει). — **περὶ σκιᾶς**: za sjenu, hlad. — **διὰ τὸ ἀλγεῖν τούς**: zato, što me bole noge. — 6. **ὅποι ἄν**: v. str. 11. b. 2. (ᾧ). — **φύσει**: od prirode. — **ἀσθενής**: slab. — 7. **σώματι**: sastavi s ἀσθενέστατοι. — **μελετήσαντες**: ako se izvježbaju. — **τῶν ἰσχυροτάτων**: gen. comparat.; postaju jači od najsnažnijih, ako se ovi zapuste. — 8. **πρὸς ἅ**: πρὸς ταῦτα, ἅ; u onom, što. — 9. **τῷ σώματι**: sastavi s μελετῶντι a μελετῶντι sa καρτερεῖν τὰ συντυγχάνοντα; da podnosi ono, što se desi. — 10. **σοῦ**: gen. comparat. — **τοῦ μὴ δουλεύειν**: subj. je ἐμέ, sastavi s αἰτιώτερον; zar misliš, da je drugo većma uzrok tomu, što ne robujem. — 11. **λαγνεία**: putenost. — **ἢ τὸ ἕτερα ἔχειν**: nego to, da imam drugo. — **τούτων**: t. j. od trbuha, sna i putenosti. — 12. **ἅ**: proteže se na ἕτερα. — **ἐν χρείᾳ ὄντα**: dok se uživa. — **εὐφραίνει**: v. str. 10. b. 5. (οὕτως). — **ἀλλὰ καί**: dopuni εὐφραίνει. — **παρέχοντα**: proteže se na ἅ; jer podaje nade, da će. — 13. **καὶ μήν**: pa i. — **μηδὲν εὖ πράττειν**: da nijesu ni u čemu sretne ruke; v. str. 30. b. 8. — 14. **ἡγέομαι**: mislim. — **προχωρέω**: napredujem. — 15. **γεωργία**: teženje zemlje, ratarstvo. — **ναυκληρία**: posao na moru. — **τυγχάνωσιν**: v. str. 1. b. 4. i str. 11. b. 2. — **ὡς εὖ πράττοντες**: kao sretni. — 17. **ὅσην**: mj. ὅση ἐστίν, asimilacija. — **ἀπὸ τοῦ ἡγεῖσθαι**: od misli, da čovjek sam postaje. — **φίλους**: obj. od κτᾶσθαι. — 18. **διατελῶ**: v. str. 112. b. 22. — **ἐάν**: v. str. 2. b. 8.

*

ἢ πόλιν ὠφελεῖν δέῃ, ποτέρῳ ἡ πλείων σχολὴ τούτων ἐπιμελεῖσθαι, τῷ, ὡς ἐγὼ νῦν, ἢ τῷ, ὡς σὺ μακαρίζεις, διαιτωμένῳ; στρατεύοιτο δὲ πότερος ἂν ῥᾷον, ὁ μὴ δυνάμενος ἄνευ πολυτελοῦς διαίτης ζῆν, ἢ ᾧ τὸ παρὸν ἀρκοίη; ἐκπολιορκηθείη δὲ πότερος ἂν θᾶττον, ὁ τῶν χαλεπωτάτων εὑρεῖν δεόμενος, ἢ ὁ τοῖς ῥᾴστοις ἐντυγχάνειν ἀρκούντως χρώμενος; ἔοικας, ὦ Ἀντιφῶν, τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν καὶ πολυτέλειαν εἶναι· ἐγὼ δὲ νομίζω τὸ μὲν μηδενὸς δεῖσθαι θεῖον εἶναι, τὸ δ' ὡς ἐλαχίστων ἐγγυτάτω τοῦ θείου.

2. Heraklo na raskršću.

(II. 1., 21.—34.)

Καὶ Πρόδικος δὲ ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ Ἡρακλέους, ὅπερ δὴ καὶ πλείστοις ἐπιδείκνυται, ὡσαύτως περὶ τῆς ἀρετῆς ἀποφαίνεται, ὧδέ πως λέγων, ὅσα ἐγὼ μέμνημαι. φησὶ γὰρ Ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὡρμᾶτο, ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν, εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον εἴτε τὴν διὰ

1. ***ὠφελεῖν***: v. str. 4. b. 14. (τοός). — ***πότερος***: koji (od dvojice); tko ima više vremena. — ***τούτων***: za to; v. str. 10. b. 12. — ***τῷ***: sastavi sa διαιτωμένῳ; da li onaj, koji živi tako, kao što ja (živim). — 2. ***μακαρίζω***: držim sretnim, hvalim. — 3. ***τὸ παρόν***: što ima. — 4. ***ἀρκεῖ***: dosta je. ***ἐκπολιορκέομαι***: predajem se. — ***ὁ τῶν χαλεπωτάτων εὑρεῖν***: koji traži, što je najteže naći. — 5. ***ὁ τοῖς***: koji je zadovoljan s onim, na što se najlakše namjeriti; inf. εὑρεῖν i ἐντυγχάνειν zavisni su o pridjevima. — ***ἀρκούντως***: dosta; ***ἀρκούντως χράομαι***: zadovoljan sam. — 6. ***ἔοικά τινι***: nalik sam na. — ***τὴν εὐδαιμονίαν***: subj. — ***τρυφὴν καί***: predikati; τρυφή: raskoš. — ***πολυτέλεια***: gizda, sjaj. — 7. ***τὸ μηδενὸς δεῖσθαι***: ne trebati ništa. — ***τὸ δ' ὡς ἐλαχίστων***: dopuni δεῖσθαι; trebati što manje. — 8. ***ἐγγυτάτω***: s gen., najbliže.

9. ***Πρόδικος***: Prodik, savremenik Sokratov, rodom s otoka Keja, bijaše pored Protagore, Gorgije i Hipije najugledniji sofist, koji se osobito bavio razlikovanjem značenja sličnih riječi; govorio je i o vrlini, kakva treba da je u kućnom i javnom životu. — ***ἐν τῷ συγγράμματι***: u spisu Ὧραι. — 10. ***δή***: baš. — ***ἐπιδείκνυται***: predaje (Prodik) javno; sofisti su javno govorili svečane govore ἐπιδείξεις, koji spadaju u τὸ ἐπιδεικτικὸν γένος. Zove se i πανηγυρικὸν γένος, jer su se zborili na svečanim sastancima ili zborovima, ili ἐγκωμιαστικόν, jer je bila sadržana pohvala. — ***ὡσαύτως***: tako isto. — ***ἀποφαίνεται***: iznosi. — 11. ***ὅσα***: koliko. — ***ἐκ παίδων***: iz djevačke dobi. — 12. ***ἥβη***: mladenačka dob. — ***αὐτοκράτωρ***: punoljetan, svoj. — 13. ***εἴτε — εἴτε***: li — ili. — ***τὴν δι' ἀρετῆς ὁδόν***: putem kreposti.

κακίας, ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι ἀποροῦντα, ποτέραν τῶν ὁδῶν τράπηται· καὶ φανῆναι αὐτῷ δύο γυναῖκας προσιέναι μεγάλας, τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον φύσει, κεκοσμημένην τὸ μὲν χρῶμα καθαριότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ, τὴν δ' ἑτέραν τεθρυμμένην μὲν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα, ὥστε λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι, τὸ δὲ σχῆμα, ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι, τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δέ, ἐξ ἧς ἂν μάλιστα ἡ ὥρα διαλάμποι· κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτήν, ἐπισκοπεῖσθαι δὲ καί, εἴ τις ἄλλος αὐτὴν θεᾶται, πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν.

Ὡς δ' ἐγένοντο πλησιαίτερον τοῦ Ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον, τὴν δ' ἑτέραν φθάσαι βουλομένην προσδραμεῖν τῷ Ἡρακλεῖ καὶ εἰπεῖν· „Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα, ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ. ἐὰν οὖν ἐμὲ φίλην ποιήσῃ, τὴν ἡδίστην τε καὶ ῥᾴστην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσει, τῶν δὲ χαλεπῶν ἄπειρος διαβιώσει. πρῶτον μὲν γὰρ οὐ πολέμων οὐδὲ

1. ***ἡσυχία***: mir, samoća. — ***καθῆσθαι***: da je sjedio. — ***ἀπορέω***: ne znam. — 2. ***τράπηται***: konj. deliberativni. — ***φανῆναι***: učinilo mu se, da. — ***τὴν μὲν ἑτέραν — τὴν δ' ἑτέραν***: jedna — druga. — 3. ***εὐπρεπῆ ἰδεῖν***: pristala na pogled. — ***ἐλευθέριος***: plemenit; na njoj nije bilo ništa ropsko. — 4. ***τὸ χρῶμα*** (boja kože), ***τὰ ὄμματα, τὸ σχῆμα***: ak. obzira; čistoća joj je kitila lice (nije bila namazana), oči stid, držanje čednost i bijelo odijelo. — 5. ***τέθρυμμαι*** (θρύπτω): živim mekoputno. — ***εἰς***: za. — ***πολυσαρκία***: gojnost. — 6. ***ἁπαλότης***: nježnost. — ***καλλωπίζω***: ljepšam, nagizdam. — ***τὸ χρῶμα, τὸ σχῆμα***: ak. obzira; lica naličena, držanja gizdava. — ***ὥστε***: v. str. 3. b. 1. — 7. ***ἐρυθρός***: rumen. — ***τοῦ ὄντος***: gen. comparat., sr. rod; nego je uistinu bila. — ***δοκεῖν φαίνεσθαι***: na oko se činila. — 8. ***τῆς φύσεως***: gen. comparat., nego od prirode. — ***ἔχειν***: zavisno φανῆναι. — ***ἀναπεπταμένος***: razrogačen, neoborenih vjeđa. — 9. ***ὥρα***: mladost, dražest mladenačka. — ***διαλάμπω***: prosijevam; prozirne tkanine tkale su se na Amorgu, Kosu i u Tarentu. — ***κατασκοπέομαι ἐμαυτόν***: gledam po sebi. — ***θαμά***: često. — 10. ***ἐπισκοπέομαι***: ogledam se. — ***καί***: također. — ***εἰ***: da li. — ***εἰς τήν***: gleda na svoju sjenu mjesto u ogledalo.

12. ***ἐγένοντο***: bile su, dođoše. — 13. ***ῥηθείς***: pomenut. — ***τὸν αὐτὸν τρόπον***: na isti način t. j. mirno i čedno; adverbijalni ak. — ***φθάσαι βουλομένην***: jer je htjela preteći. — 15. ***τράπῃ***: v. b. 2. — ***ἐάν***: v. str. 2. b. 8. — ***φίλη***: prijateljica. — 16. ***τῶν τερπνῶν***: τὰ τερπνά, ugodnosti; gen. part. zavisan o οὐδενός a οὐδενός o ἄγευστος; ἄγευστός εἰμι, ne okusim; okusit ćeš svaku ugodnost. — 17. ***τῶν χαλεπῶν***: τὰ χαλεπά, muke; gen. radi ἄπειρος (neiskusan, ne znajući). — ***διαβιόω***: proživim.

πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος διέσει, τί ἂν κεχαρισμένον ἢ σιτίον ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἰδὼν ἢ ἀκούσας τερφθείης, ἢ τίνων ἂν ὀσφραινόμενος ἢ ἁπτόμενος ἡσθείης, καὶ πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ πῶς ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις. ἐὰν δέ ποτε γένηταί τις ὑποψία σπάνεως, ἀφ' ὧν ἔσται ταῦτα, οὐ φόβος, μή σε ἀγάγω ἐπὶ τὸ πονοῦντα καὶ ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ ταῦτα πορίζεσθαι, ἀλλ' οἷς ἂν οἱ ἄλλοι ἐργάζωνται, τούτοις σὺ χρήσει οὐδενὸς ἀπεχόμενος, ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι. πανταχόθεν γὰρ ὠφελεῖσθαι τοῖς ἐμοὶ συνοῦσιν ἐξουσίαν ἐγὼ παρέχω." — καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα· „Ὦ γύναι," ἔφη, „ὄνομα δέ σοι τί ἐστιν;" — ἡ δέ· „Οἱ μὲν ἐμοὶ φίλοι," ἔφη, „καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντές με ὑποκοριζόμενοι ὀνομάζουσι Κακίαν."

Καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπε· „Καὶ ἐγὼ ἥκω πρὸς σέ, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα, ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἀγαθὸν ἐργάτην γενέσθαι καὶ ἐμὲ ἔτι πολὺ ἐντιμοτέραν καὶ ἐπ' ἀγαθοῖς διαπρεπεστέραν φανῆναι. οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ', ᾗπερ οἱ θεοὶ διέθεσαν

1. ***πράγματα***: državni poslovi. — ***φροντίζω***: v. str. 10. b. 12. — ***σκοπούμενος δίειμι***: neprestano gledam; v. str. 1. b. 4. — ***κεχαρισμένος***: ugodan. — 2. ***τέρπομαι***: naslađujem se. — 3. ***ὀσφραίνομαί τινος***: mirišem što. — ***ἥδομαι***: veselim se. — ***μαλακώτατα***: najmekše; v. str. 8. b. 11. (τὰ ἄλλα). — 4. ***ἀπονώτατα***: s najmanje truda. — ***τυγχάνω***: postizavam; v. str. 18. b. 2. (αὐτοῦ). — 5. ***ὑποψία σπάνεως***: σπάνις, oskudica; sumnja, da ne će biti onoga. — ***ἀφ' ὧν***: τούτων, ἀφ' ὧν; odakle. — ***οὐ φόβος***: ἐστίν, nema straha; v. str. 10. b. 10. (καί). — 6. ***ἐπὶ τό***: sastavi s ταῦτα πορίζεσθαι; do toga, da sebi dobavljaš to. — ***πονοῦντα καί***: mučeći se i. — ***ταλαιπωρέω***: kinjim se. — ***τῷ σώματι καί***: sastavi s partic. — 7. ***οἷς***: τούτοις, ἅ; v. str. 4. b. 8. (ὧν). — ***ἐργάζωνται***: v. str. 9. b. 4. (ἄν). — 8. ***ἀπέχομαί τινος***: uzdržavam se od; v. str. 19. b. 12. — ***κερδαίνω***: dobivam. — ***πανταχόθεν***: odsvakud. — ***ὠφελεῖσθαι***: koristovati se. — 9. ***οἱ ἐμοὶ συνόντες***: moji drugovi. — ***ἐξουσία***: sloboda. — 11. ***ὑποκορίζομαι*** (κόρος, dijete): zovem od mila, ovdje 'od ruga'.

13. ***ἐν τούτῳ***: uto. — 14. ***τοὺς γεννήσαντάς σε***: roditelje tvoje; γεννάω, rađam. — 15. ***παιδεία***: djetinjstvo. — ***ἐξ ὧν***: po čemu t. j. po roditeljima i po prirodi. — 16. ***τράποιο***: v. str. 12. b. 13. (ἃ δοίη). — ***σφόδρα***: silno. — ***ἂν γενέσθαι φανῆναι***: zavisno o ἐλπίζω; v. str. 9. b. 8. (ἄν). — ***τῶν καλῶν — ἐργάτην***: radenik za lijepo i plemenito. — 17. ***ἐπ' ἀγαθοῖς***: sr. rod, radi dobra. — ***διαπρεπής***: odličan. — 18. ***ἐξαπατάω***: varam. — ***προοίμιον***: uvodna pjesma, uvod; obećavanje naslade. — ***ᾗπερ***: kako. — ***διέθεσαν τὰ ὄντα***: urediše svijet.

τὰ ὄντα, διηγήσομαι μετ' ἀληθείας. τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας οἱ θεοὶ διδόασιν ἀνθρώποις, ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς, εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον, εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον, εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν, εἴτε γῆν βούλει σοι καρποὺς ἀφθόνους φέρειν, τὴν γῆν θεραπευτέον, εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον, εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι καὶ βούλει δύνασθαι τούς τε φίλους ἐλευθεροῦν καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον καί, ὅπως αὐταῖς δεῖ χρῆσθαι, ἀσκητέον· εἰ δὲ καὶ τῷ σώματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι."

Καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν, ὥς φησι Πρόδικος· „Ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε." — καὶ ἡ Ἀρετὴ εἶπεν· „Ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις; ἢ τί ἡδὺ οἶσθα; ἥτις οὐδὲ τὴν τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι, πάντων ἐμπίμπλασαι, πρὶν μὲν πεινῆν, ἐσθίουσα, πρὶν δὲ διψῆν, πίνουσα, ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιίας μηχανωμένη, ἵνα δὲ ἡδέως πίῃς, οἴνους τε πολυτελεῖς παρασκευάζει καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς, ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς

1. ***διηγέομαι***: kazujem. — ***μετά***: po; v. str. 8. b. 14. — ***τῶν***: gen. part. radi οὐδέν; ništa od onoga, što je. — 2. ***εἴτε — εἴτε***: ako. — 3. ***ἵλεως, ων***: milostiv. — ***θεραπευτέον***: ἐστίν; θεραπεύω, štujem. — 4. ***ἀγαπάω***: volim. — ***εὐεργετέω***: v. str. 4. b. 14. (τούς). — 6. ***ἀξιόω***: tražim, želim. — ***ἐπί***: radi. — ***πειράομαι***: kušam, nastojim. — 7. ***ἄφθονος***: obilat. — ***θεραπεύω***: obrađujem. — 8. ***πλουτίζομαι***: bogatim se. — ***βοσκημάτων***: za stado, stoku; v. str. 10. b. 12. — 9. ***διὰ πολέμου***: ratom; v. str. 11. b. 13. — ***ὁρμάω***: smjeram. — 10. ***χειρόομαι***: svladavam. — 11. ***ὅπως***: kako. — 12. ***ἀσκέω***: vježbam se, nastojim. — ***γνώμη***: pamet. — 13. ***ὑπηρετέω***: služim. — ***ἐθίζω***: priučavam. — ***ἱδρώς***: znoj.

14. ***ὑπολαμβάνω***: prihvaćam. — ***ἐννοέω***: razbiram. — 15. ***ὡς***: kako. — ***εὐφροσύνη***: veselje. — 17. ***τλήμων***: jadan. — 18. ***ἥτις***: ta ti. — ***τῶν ἡδέων ἐπιθυμία***: želja za ugodnim. — ***ἀναμένω***: čekam. — 19. ***πρὶν ἐπιθυμῆσαι***: v. str. 14. b. 9. — ***πάντων ἐμπίμπλασαι***: svega se zasitiš; v. str. 17. b. 8. — ***ἐσθίουσα***: jer jedeš, prije nego ogladniš. — 20. ***ὀψοποιία***: poslastica. — ***μηχανάομαι***: smišljam, pripravljam. — 21. ***πολυτελής***: skup. — ***τοῦ θέρους***: v. str. 130. b. 1. — 22. ***χιών***: snijeg, za hlađenje pića. — ***περιθέω***: trčim naokolo. — ***καθυπνόω***: spavam, zaspim..

στρωμνὰς μαλακάς, ἀλλὰ καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζει· οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν, ὅ τι ποιῇς, ὕπνου ἐπιθυμεῖς· ἀθάνατος δὲ οὖσα ἐκ θεῶν μὲν ἀπέρριψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζει· τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου σεαυτῆς, ἀνήκοος εἶ, καὶ τοῦ πάντων ἡδίστου θεάματος ἀθέατος· οὐδὲν γὰρ πώποτε σεαυτῆς ἔργον καλὸν τεθέασαι. τίς δ' ἄν σοι λεγούσῃ τι πιστεύσειε; τίς δ' ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ τίς ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι; οἳ νέοι μὲν ὄντες τοῖς σώμασιν ἀδύνατοί εἰσι, πρεσβύτεροι δὲ γενόμενοι ταῖς ψυχαῖς ἀνόητοι, ἀπόνως μὲν λιπαροὶ διὰ νεότητος φερόμενοι, ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γήρως περῶντες, τοῖς μὲν πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνόμενοι, τὰ μὲν ἡδέα ἐν τῇ νεότητι διαδραμόντες, τὰ δὲ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι. ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς· ἔργον δὲ καλὸν οὔτε θεῖον οὔτ' ἀνθρώπειον χωρὶς ἐμοῦ γίγνεται. τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς καὶ παρ' ἀνθρώποις, οἷς προσήκει, ἀγαπητὴ μὲν συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ συλλήπτρια τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός. ἔστι δὲ τοῖς μὲν ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων

1. ***στρωμνή***: prostirač. — ***ὑπόβαθρον***: noga za ljuljanje. — ***κλίνη***: počivaljka; na njoj Grk leži za stolom, na njoj čita, piše, spava; ona mu je i odar, kad umre. — 2. ***διὰ τὸ πονεῖν***: zato, što se mučiš, već zato, što ne znaš, što da. — ***ποιῇς***: v. str. 133. b. 2. — 3. ***οὖσα***: premda si. — ***ἐκ θεῶν***: iz kola božjega izbačena si. — 4. ***τοῦ ἀκούσματος*** (glas): zavisno o ἀνήκοος εἶ (ne čuješ). — ***πάντων***: sr. rod, gen. part. zavisan o ἡδίστου. — ***σεαυτῆς***: gen. obj., pohvale svoje. — 5. ***θέαμα***: pogled. — ***ἀθέατος***: εἶ, ne vidiš. — 6. ***λεγούσῃ***: kad bi govorila. — 7. ***ἐπαρκέω***: pomažem. — ***εὖ φρονῶν***: razborit. — ***τοῦ θιάσου εἶναι***: gen. subj., pripadati pratnji; θίασος, zapravo pratnja boga Dionisa t. j. satiri, bakhantice, kentauri, Pan i Silen; ovdje se misli četa raskalašnih mladića i izmoždenih staraca. — 8. ***οἳ νέοι ὄντες***: ta oni kao mladići. — ***ἀδύνατος***: slab. — 9. ***ἀπόνως λιπαροὶ — φερόμενοι***: bez muke, sjajući od pomasti (kosa im je namazana) hrle kroz mladost. — 10. ***ἐπιπόνως***: s mukom. — ***αὐχμηρός***: kuštrav. — ***περάω***: prevaljujem, probijam se. — ***τοῖς πεπραγμένοις, τοῖς πραττομένοις***: onoga, što su uradili, stide se; v. str. 8. b. 9. (χαλεπῶς). — 11. ***βαρύνομαι***: ljutim se. — 12. ***ἀποτίθεμαι εἰς***: spremam sebi za. — 13. ***σύνειμι***: jesam sa, družim se. — 14. ***χωρίς***: bez. — 15. ***πάντων***: od svih. — ***οἷς***: παρ' οἷς προσήκει τιμᾶσθαι. — 16. ***ἀγαπητός***: drag. — ***συνεργός***: suradnica. — ***τεχνίτης***: zanatnik. — ***φύλαξ***: čuvarica. — 17. ***εὐμενής***: odan. — ***παραστάτις***: zaštitnica. — ***συλλήπτρια***: pomoćnica. — 19. ***κοινωνός***: drugarica. — ***ἀπράγμων***: bez muke t. j. ne trebaju tražiti snijega i drugo.

καὶ ποτῶν ἀπόλαυσις· ἀνέχονται γάρ, ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν. ὕπνος δ' αὐτοῖς πάρεστιν ἡδίων ἢ τοῖς ἀμόχθοις, καὶ οὔτε ἀπολείποντες αὐτὸν ἄχθονται οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα πράττειν. καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται· καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες, δι' ἐμὲ φίλοι μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. ὅταν δ' ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις, ἔξεστι διαπονησαμένῳ τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι. οὕτω πως διοικεῖ Πρόδικος τὴν ὑπ' Ἀρετῆς Ἡρακλέους παίδευσιν· ἐκόσμησε μέντοι τὰς γνώμας ἔτι μεγαλειοτέροις ῥήμασιν ἢ ἐγὼ νῦν.

3. Prijateljstvo.

(II. 6., 1.—14.)

Koga treba da biraš? „Εἰπέ μοι," ἔφη, „ὦ Κριτόβουλε, εἰ δεοίμεθα φίλου ἀγαθοῦ, πῶς ἂν ἐπιχειροῖμεν σκοπεῖν; ἆρα πρῶτον μὲν ζητητέον, ὅστις ἄρχει γαστρός τε καὶ φιλοποσίας καὶ ὕπνου καὶ ἀργίας; ὁ γὰρ ὑπὸ τούτων κρατούμενος οὔτ' αὐτὸς ἑαυτῷ δύναιτ' ἂν οὔτε φίλῳ τὰ δέοντα πράττειν;" — „Μὰ Δί', οὐ δῆτα," ἔφη. — „Οὐκοῦν τοῦ μὲν

1. ***ἀπόλαυσις***: uživanje. — ***ἀνέχομαι***: usprežem se, čekam. — ***ἕως ἄν***: dok ne; v. str. 5. b. 9. — ***αὐτῶν***: σίτων καὶ ποτῶν. — 2. ***ἄμοχθος***: lijen. — ***ἀπολείποντες αὐτόν*** (ὕπνον): rastajući se s njim. — 3. ***τοῦτον***: ὕπνον. — ***μεθίημι***: propuštam. — ***τὰ δέοντα πράττειν***: vršiti dužnosti. — 4. ***τοῖς ἐπαίνοις***: v. str. 8. b. 9. — 5. ***τιμή***: štovanje. — ***τῶν νέων***: gen. subj. — ***ἀγάλλομαι***: ponosim se. — ***ἡδέως***: rado. — 6. ***εὖ***: sastavi s πράττοντες, valjano obavljajući. — ***τὰς παρούσας***: dopuni πράξεις, sadašnja djela. — ***φίλος***: mio. — 7. ***φίλος***: prijatelj. — ***ἔλθῃ***: v. str. 5. b. 9. — ***πεπρωμένος*** (πέπρωται): suđen. — 8. ***μετὰ λήθης***: u zaboravu; v. str. 8. b. 14. — ***τὸν ἀεὶ χρόνον***: sve vrijeme. — 9. ***ὑμνέω***: slavim (pjesmom). — ***θάλλω***: cvatem. — ***τοιαῦτα***: v. str. 8. b. 11. (τὰ ἄλλα); takvim mukama, tako. — 10. ***διαπονέω***: namučim se; v. str. 9. b. 1. (προδόντα). — ***μακαριστός***: blažen. — 11. ***διοικέω***: razlažem. — ***παίδευσις***: odgoja. — 12. ***γνώμη***: misao. — ***μεγαλεῖος***: krasan. — ***ῥῆμα***: riječ.

13. ***ἔφη***: Sokrat. — ***Κριτόβουλε***: Kritobul, sin Kritona, imućna prijatelja Sokratova. — 14. ***ἐπιχειρέω***: počinjem. — ***ζητητέον***: ἐστί τινα. — 15. ***ἄρχω***: gospodar sam; v. str. 4. b. 4. (αὐτῶν). — ***φιλοποσία***: želja za pićem. — ***ἀργία***: lijenost, nerad. — 16. ***κρατέω***: svladavam. — 17. ***τὰ δέοντα***: ono, što treba. — ***μὰ Δί'***: Zeusa mi. — ***δῆτα***: svakako; οὐ δῆτα: nipošto. — ***οὐκοῦν***: v. str. 21. b. 2.

ὑπὸ τούτων ἀρχομένου ἀφεκτέον δοκεῖ σοι εἶναι;“ — „Πάνυ μὲν οὖν,“ ἔφη. — „Τί γάρ;“ ἔφη, „ὅστις δαπανηρὸς ὢν μὴ αὐτάρκης ἐστίν, ἀλλ' ἀεὶ τῶν πλησίον δεῖται, καὶ λαμβάνων μὲν μὴ δύναται ἀποδιδόναι, μὴ λαμβάνων δὲ τὸν μὴ διδόντα μισεῖ, οὐ δοκεῖ σοι καὶ οὗτος χαλεπὸς φίλος εἶναι;“ — „Πάνυ γ',“ ἔφη. — „Οὐκοῦν ἀφεκτέον καὶ τούτου;“ — „Ἀφεκτέον μέντοι,“ ἔφη. — „Τί γάρ; ὅστις χρηματίζεσθαι μὲν δύναται, πολλῶν δὲ χρημάτων ἐπιθυμεῖ, καὶ διὰ τοῦτο δυσσύμβολός ἐστι, καὶ λαμβάνων μὲν ἥδεται, ἀποδιδόναι δὲ μὴ βούλεται;“ — „Ἐμοὶ μὲν δοκεῖ,“ ἔφη, „οὗτος ἔτι πονηρότερος ἐκείνου εἶναι.“ — „Τί δ'; ὅστις διὰ τὸν ἔρωτα τοῦ χρηματίζεσθαι μηδὲ πρὸς ἓν ἄλλο σχολὴν ποιεῖται ἢ ὁπόθεν αὐτός τι κερδανεῖ;“ — „Ἀφεκτέον καὶ τούτου, ὡς ἐμοὶ δοκεῖ· ἀνωφελὴς γὰρ ἂν εἴη τῷ χρωμένῳ.“ — „Τί δέ; ὅστις στασιώδης τέ ἐστι καὶ θέλων πολλοὺς τοῖς φίλοις ἐχθροὺς παρέχειν;“ — „Φευκτέον νὴ Δία καὶ τοῦτον.“ — „Εἰ δέ τις τούτων μὲν τῶν κακῶν μηδὲν ἔχοι, εὖ δὲ πάσχων ἀνέχεται, μηδὲν φροντίζων τοῦ ἀντευεργετεῖν;“ — „Ἀνωφελὴς ἂν εἴη καὶ οὗτος. ἀλλὰ ποῖον, ὦ Σώκρατες, ἐπιχειρήσομεν φίλον ποιεῖσθαι;“ — „Οἶμαι μέν, ὃς ἂν τἀναντία τούτων ἐγκρατὴς μὲν ᾖ τῶν τοῦ σώματος ἡδονῶν, εὔοικος δὲ καὶ εὐσύμβολος ὢν τυγχάνῃ καὶ φιλόνικος πρὸς τὸ μὴ λείπεσθαι εὖ ποιῶν τοὺς εὐεργετοῦντας αὐτόν, ὥστε λυσιτελεῖν τοῖς χρωμένοις.“ — „Πῶς οὖν ἂν ταῦτα δοκιμάσαιμεν, ὦ

1. **τοῦ ἀρχομένου**: gen. separat. od ἀφεκτέον; ἀπέχομαι: uzdržavam se, klonim se; onoga, koji se tomu (jelu, piću i t. d.) odaje. — **πάνυ μὲν οὖν**: ma svakako. — 2. **τί γάρ**: pa što onda? — **δαπανηρός**: rastrošan. — **μή**: jer ὅστις stoji mj. εἴ τις. — **αὐτάρκης**: zadovoljan sa svojim. — 3. **οἱ πλησίον**: susjedi. — **δέομαί τινος**: molim koga. — 4. **χαλεπός**: rđav. — 6. **μέντοι**: doista. — **χρηματίζομαι**: bogatim se. — 7. **δυσσύμβολος** (συμβάλλομαι, pridonosim): koji nerado daje, škrt. — 8. **λαμβάνων**: kad prima. — **ἥδεται**: godi mu. — 10. **ἔρως τοῦ**: želja za. — **μηδὲ πρὸς ἓν ἄλλο**: ni za što drugo. — **σχολὴν ποιέομαι**: upotrebljavam dokono vrijeme. — 11. **ἢ ὁπόθεν**: nego za to, po čemu. — **κερδαίνω**: dobivam. — 12. **ἀνωφελής**: beskoristan. — **τῷ χρωμένῳ**: onomu, koji ga ima. — **στασιώδης**: buntovan. — 13. **παρέχω**: pribavljam. — 14. **τούτων τῶν κακῶν μηδέν**: ni jednu od tih mana. — 15. **εὖ πάσχων ἀνέχεται**: nego ako voli primati dobro, a ne mari vraćati milo za drago; v. str. 10. b. 12. — 16. **ἐπιχειρέω**: nastojim. — **φίλον**: prijateljem. — 17. **ὃς ἄν**: v. str. 9. b. 4. (ἄν). — **τἀναντία** (τὰ ἐναντία) **τούτων**: nasuprot tomu. — **ἐγκρατής**: gospodar. — 18. **εὔοικος**: dobar gospodar. — **εὐσύμβολος**: darežljiv. — **τυγχάνῃ**: v. str. 1. b. 4. — **φιλόνικος πρός**: željan takmiti se u tom, da ne zaostane. — 19. **τοὺς εὐεργετοῦντας**: obj. od εὖ ποιῶν; v. str. 4. b. 14. (τούς). — **αὐτόν**: obj. od εὐεργετοῦντας. — **ὥστε**: v. str. 3. b. 1. — 20. **λυσιτελέω τινί**: koristim komu. — **δοκιμάζω**: ispitujem, prosuđujem.

Σώκρατες, πρὸ τοῦ χρῆσθαι;“ — „Τοὺς μὲν ἀνδριαντοποιούς,“ ἔφη, „δοκιμάζομεν οὐ τοῖς λόγοις αὐτῶν τεκμαιρόμενοι, ἀλλ', ὃν ἂν ὁρῶμεν τοὺς πρόσθεν ἀνδριάντας καλῶς εἰργασμένον, τούτῳ πιστεύομεν καὶ τοὺς λοιποὺς εὖ ποιήσειν.“ — „Καὶ ἄνδρα δὴ λέγεις,“ ἔφη, „ὃς ἂν τοὺς φίλους τοὺς πρόσθεν εὖ ποιῶν φαίνηται, δῆλον εἶναι καὶ τοὺς ὕστερον εὐεργετήσοντα;“ — „Καὶ γὰρ ἵππους,“ ἔφη, „ὃν ἂν ὁρῶ τοῖς πρόσθεν καλῶς χρώμενον, τοῦτον κἂν ἄλλοις οἶμαι καλῶς χρῆσθαι.“

Kako ćeš pridobiti prijatelja? „Εἶεν,“ ἔφη· „ὃς δ' ἂν ἡμῖν ἄξιος φιλίας δοκῇ εἶναι, πῶς χρὴ φίλον τοῦτον ποιεῖσθαι;“ — „Πρῶτον μέν,“ ἔφη, „τὰ παρὰ τῶν θεῶν ἐπισκεπτέον, εἰ συμβουλεύουσιν αὐτὸν φίλον ποιεῖσθαι.“ — „Τί οὖν;“ ἔφη, „ὃν ἂν ἡμῖν τε δοκῇ καὶ οἱ θεοὶ μὴ ἐναντιῶνται, ἔχεις εἰπεῖν, ὅπως οὗτος θηρατέος;“ — „Μὰ Δί',“ ἔφη, „οὐ κατὰ πόδας ὥσπερ ὁ λαγὼς οὐδ' ἀπάτῃ ὥσπερ αἱ ὄρνιθες οὐδὲ βίᾳ ὥσπερ οἱ κάπροι. ἄκοντα γὰρ φίλον ἑλεῖν ἐργῶδες· χαλεπὸν δὲ καὶ δήσαντα κατέχειν ὥσπερ δοῦλον· ἐχθροὶ γὰρ μᾶλλον ἢ φίλοι γίγνονται οἱ ταῦτα πάσχοντες.“ — „Φίλοι δὲ πῶς;“ ἔφη. — Sirenske pjesme prijateljstvu. „Εἶναι μέν τινάς φασιν ἐπῳδάς, ἃς οἱ ἐπιστάμενοι ἐπᾴδοντες, οἷς ἂν βούλωνται, φίλους αὐτοὺς ποιοῦνται· εἶναι δὲ καὶ φίλτρα, οἷς οἱ ἐπιστάμενοι, πρὸς οὓς ἂν βούλωνται, χρώμενοι φιλοῦνται ὑπ' αὐτῶν.“ — „Πόθεν οὖν,“ ἔφη, „ταῦτα μάθοιμεν ἄν;“ — „Ἃ μὲν αἱ Σειρῆνες ἐπῇδον τῷ Ὀδυσσεῖ, ἤκουσας Ὁμήρου, ὧν ἐστιν ἀρχὴ τοιάδε τις·

Δεῦρ' ἄγε δή, πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν.“ —

1. **πρὸ τοῦ χρῆσθαι**: prije no se družimo. — **ἀνδριαντοποιός**: kipar. — 2. **τεκμαίρομαί τινι**: sudim po. — 3. **τοὺς πρόσθεν ἀνδριάντας** (ἀνδριάς): pređašnje kipove. — **εἰργασμένον**: da je izradio; v. str. 3. b. 11. (βουλευομένους). — **τοὺς λοιπούς**: ἀνδριάντας. — 4. **εὖ ποιέω**: lijepo izrađujem. — 5. **φαίνηται**: v. str. 32. b. 5. — **δῆλον εἶναι**: v. str. 16. b. 12. — **τοὺς ὕστερον**: φίλους, potonjima t. j. novima. — 7. **κἄν**: καὶ ἄν; v. str. 9. b. 8. (ἄν).

8. **εἶεν**: neka, dobro. — 9. **φίλον**: prijateljem. — 10. **τὰ παρὰ τῶν θεῶν**: znamenja, volja božja. — 11. **ὅν**: dopuni φίλον ποιεῖσθαι; prevedi: koga ushtjednemo. — 12. **ἔχω**: v. str. 51. b. 16. — **θηρατέος**: ἐστίν. — 13. **κατὰ πόδας**: nogama, trkom. — **λαγώς**: θηρατέος ἐστίν; zec. — **ἀπάτη**: prijevara; misli 'zamku, mrežu'. — 14. **κάπρος**: vepar. — **ἄκων**: preko volje; v. str. 5. b. 2. (ἑκών). — **ἐργῶδες**: ἐστίν, tegotno. — 15. **δήσαντα κατέχειν**: sputati ga i držati. — 17. **ἐπῳδή**: pjesma bajalica. — **ἃς οἱ ἐπιστάμενοι**: kojima vješti obaju (ἐπᾴδω τινί, bajem komu) one, koje. — 18. **οἷς**: τούτοις, οἷς. — **βούλωνται**: dopuni ἐπᾴδειν. — 19. **φίλτρον**: sredstvo za ljubav. — **πρὸς οὕς**: za one, za koje. — **βούλωνται**: χρῆσθαι. — 21. **ἀκούω**: v. str. 25. b. 7. (Κύρου). — **ὧν**: a tomu je početak. — 22. **δεῦρο**: ovamo. — **ἄγε**: deder. — **πολύαινος**: preslavan. — **κῦδος**: dika; Hom. Od. XII. 184.

„Ταύτην οὖν,“ ἔφη, „τὴν ἐπῳδήν, ὦ Σώκρατες, καὶ τοῖς ἄλλοις ἀνθρώποις αἱ Σειρῆνες ἐπᾴδουσαι κατεῖχον, ὥστε μὴ ἀπιέναι ἀπ᾽ αὐτῶν τοὺς ἐπᾳσθέντας;“ — „Οὔκ, ἀλλὰ τοῖς ἐπ᾽ ἀρετῇ φιλοτιμουμένοις οὕτως ἐπῇδον.“ — „Σχεδόν τι λέγεις τοιαῦτα χρῆναι ἑκάστῳ ἐπᾴδειν, οἷα μὴ νομιεῖ ἀκούων τὸν ἐπαινοῦντα καταγελῶντα λέγειν;“ — „Οὕτω μὲν γὰρ ἐχθίων τ᾽ ἂν εἴη καὶ ἀπελαύνοι τοὺς ἀνθρώπους ἀφ᾽ ἑαυτοῦ, εἰ τὸν εἰδότα, ὅτι μικρός τε καὶ αἰσχρὸς καὶ ἀσθενής ἐστιν, ἐπαινοίη λέγων, ὅτι καλός τε καὶ μέγας καὶ ἰσχυρός ἐστιν.“ — „Ἄλλας δέ τινας οἶσθα ἐπῳδάς;“ — „Οὔκ, ἀλλ᾽ ἤκουσα μέν, ὅτι Περικλῆς πολλὰς ἐπίσταιτο, ἃς ἐπᾴδων τῇ πόλει ἐποίει αὐτὴν φιλεῖν αὐτόν.“ — „Θεμιστοκλῆς δὲ πῶς ἐποίησε τὴν πόλιν φιλεῖν αὐτόν;“ — „Μὰ Δί᾽ οὐκ ἐπᾴδων, ἀλλὰ περιάψας τι ἀγαθὸν αὐτῇ.“ — „Δοκεῖς μοι λέγειν, ὦ Σώκρατες, ὡς, εἰ μέλλομεν ἀγαθόν τινα κτήσεσθαι φίλον, αὐτοὺς ἡμᾶς ἀγαθοὺς δεῖ γενέσθαι.“

2. **ὥστε**: te obajani nijesu odilazili. — 3. **οὔκ**: ἐπῇδον. — **τοῖς ἐπ᾽**: one, koji su tražili slavu u kreposti. — 4. **σχεδόν τι**: sastavi s τοιαῦτα (v. str. 8. b. 11. τὰ ἄλλα), ovako otprilike. — **οἷα μή**: te ne će, dok sluša, pomisliti, da onaj, koji hvali, govori rugajući mu se t. j. onomu, koji sluša. — 6. **ἂν εἴη**: v. str. 12. b. 13. (ἄ). — 7. **ἀσθενής**: slab. — 9. **ἐπίσταιτο**: v. str. 2. b. 4. (ὡς). — 10. **αὐτὴν φιλεῖν αὐτόν**: te ga on (grad) voli. — 11. **περιάπτω**: privjesim, ovdje 'pribavljam'; Periklo je narod pridobio rječitošću svojom (ἐπᾴδων) a Temistoklo djelima. — 13. **κτήσεσθαι**: v. str. 33. b. 15.

Iz „Gospodarstva“.

Pohvala i blagodat ratarstva.

(5.)

„Ταῦτα δέ, ὦ Κριτόβουλε, ἐγὼ διηγοῦμαι,“ ἔφη ὁ Σωκράτης, „ὅτι τῆς γεωργίας οὐδ᾽ οἱ πάνυ μακάριοι δύνανται ἀπέχεσθαι. ἔοικε γὰρ ἡ ἐπιμέλεια αὐτῆς εἶναι ἅμα τε ἡδυπάθειά τις καὶ οἴκου αὔξησις καὶ σωμάτων ἄσκησις εἰς τὸ δύνασθαι, ὅσα ἀνδρὶ ἐλευθέρῳ προσήκει. πρῶτον μὲν γάρ, ἀφ᾽ ὧν ζῶσιν οἱ ἄνθρωποι, ταῦτα ἡ γῆ φέρει ἐργαζομένοις, καὶ ἀφ᾽ ὧν τοίνυν ἡδυπαθοῦσι, προσεπιφέρει· ἔπειτα δέ, ὅσοις κοσμοῦσι βωμοὺς καὶ ἀγάλματα καὶ οἷς αὐτοὶ κοσμοῦνται, καὶ ταῦτα μετὰ ἡδίστων ὀσμῶν καὶ θεαμάτων παρέχει· ἔπειτα δὲ ὄψα πολλὰ τὰ μὲν φύει, τὰ δὲ τρέφει· καὶ γὰρ ἡ προβατευτικὴ τέχνη συνῆπται τῇ γεωργίᾳ, ὥστε ἔχειν καὶ θεοῖς ἐξαρέσκεσθαι θύοντας καὶ αὐτοὺς χρῆσθαι. παρέχουσα δ᾽ ἀφθονώτατα ἀγαθὰ οὐκ ἐᾷ ταῦτα μετὰ μαλακίας λαμβάνειν, ἀλλὰ

1. **ταῦτα**: Sokrat je pripovijedao Kritobulu, kako je Kir Mlađi volio gospodarstvo. Kad je Lisandar došao k njemu u Sard i čudio se krasnomu vrtu, rekao je Kir, da je sve to svojom rukom zasadio i da on, dok je zdrav, ne ruča, dogod se ne uznoji kakvom vježbom za rat ili kakvim gospodarskim poslom. — **Κριτόβουλε**: v. str. 137. b. 13. — **διηγέομαι**: pripovijedam. — 2. **ἀπέχομαί τινος**: uzdržavam se od, jesam bez; v. str. 19. b. 12. — **ἔοικε**: čini se. — 3. **ἅμα**: ujedno. — **ἡδυπάθεια**: naslada, uživanje. — **αὔξησις**: unapređivanje. — 4. **ἄσκησις**: vježbanje. — **εἰς τὸ δύνασθαι**: za to, da uzmogne ono, što. — 5. **ἐργαζομένοις**: ako je oni obrađuju. — 6. **ἡδυπαθέω**: ugodno živim. — **προσεπιφέρω**: još k tomu donosim. — 7. **ἄγαλμα**: kip božji. — **μετά**: v. str. 8. b. 14. — 8. **ὀσμή**: miris. — **θέαμα**: pogled. — **ὄψον**: v. str. 114. b. 1. — **τὰ μὲν — τὰ δέ**: koje — koje. — **φύω**: činim, da raste; rađam. — 9. **τρέφει**: misli stoku. — **ἡ προβατευτικὴ τέχνη**: stočarstvo. — **συνάπτω τινί**: spajam sa. — **ὥστε ἔχειν**: te mogu; v. str. 3. b. 1. — 10. **ἐξαρέσκομαι**: ugađam. — **παρέχουσα**: γεωργία; premda pruža. — 11. **ἄφθονος**: obilat. — **μετὰ μαλακίας**: s lakoćom, lako.

ψύχη τε χειμῶνος καὶ θάλπη θέρους ἐθίζει καρτερεῖν. καὶ τοὺς μὲν αὐτουργοὺς διὰ τῶν χειρῶν γυμνάζουσα ἰσχὺν αὐτοῖς προστίθησι, τοὺς δὲ τῇ ἐπιμελείᾳ γεωργοῦντας ἀνδρίζει πρῴ τε ἐγείρουσα καὶ πορεύεσθαι σφοδρῶς ἀναγκάζουσα. καὶ γὰρ ἐν τῷ χώρῳ καὶ ἐν τῷ ἄστει ἀεὶ ἐν ὥρᾳ αἱ ἐπικαιριώταται πράξεις εἰσίν. ἔπειτα, ἤν τε σὺν ἵππῳ ἀρήγειν τις τῇ πόλει βούληται, τὸν ἵππον ἱκανωτάτη ἡ γεωργία συντρέφειν, ἤν τε πεζῇ, σφοδρὸν τὸ σῶμα παρέχει· θήραις τε ἐπιφιλοπονεῖσθαι συνεπαίρει τι ἡ γῆ καὶ κυσὶν εὐπέτειαν τροφῆς παρέχουσα καὶ θηρία συμπαρατρέφουσα. ὠφελούμενοι δὲ καὶ οἱ ἵπποι καὶ αἱ κύνες ἀπὸ τῆς γεωργίας ἀντωφελοῦσι τὸν χῶρον, ὁ μὲν ἵππος πρῴ τε κομίζων τὸν κηδόμενον εἰς τὴν ἐπιμέλειαν καὶ ἐξουσίαν παρέχων ὀψὲ ἀπιέναι, αἱ δὲ κύνες τά τε θηρία ἀπερύκουσαι ἀπὸ λύμης καρπῶν καὶ προβάτων καὶ τῇ ἐρημίᾳ τὴν ἀσφάλειαν συμπαρέχουσαι. παρορμᾷ δέ τι καὶ εἰς τὸ ἀρήγειν σὺν ὅπλοις τῇ χώρᾳ καὶ ἡ γῆ τοὺς γεωργοὺς ἐν τῷ μέσῳ τοὺς καρποὺς τρέφουσα τῷ κρατοῦντι λαμβάνειν. καὶ δραμεῖν δὲ καὶ βαλεῖν καὶ πηδῆσαι τίς ἱκανωτέρους τέχνη γεωργίας παρέχεται; τίς δὲ τοῖς ἐργαζομένοις πλείω τέχνη ἀντιχαρίζεται; τίς δὲ ἥδιον τὸν ἐπιμελούμενον δέχεται, προτείνουσα προσιόντι λαβεῖν, ὅ τι χρῄζει; τίς δὲ ξένους ἀφθονώτερον δέ-

1. **φῦχος**: v. str. 47. b. 16. — **θέρους**: v. str. 130. b. 1. — **καρτερέω**: postojano podnosim. — 2. **αὐτουργός**: koji sam radi. — **διὰ τῶν χειρῶν**: rukama; v. str. 11. b. 13. — **τοὺς ἐπιμελείᾳ γεωργοῦντας**: one, koji nadgledaju obrađivanje. — 3. **ἀνδρίζω**: stvaram čovjekom, jačim. — **πρῴ**: rano. — 4. **σφοδρῶς**: silno, mnogo; sastavi s πορεύεσθαι (hodati). — **χῶρος**: mjesto, polje, imanje. — **ἐν ὥρᾳ**: na vrijeme — 5. **ἐπικαίριος**: zgodan, ovdje 'znamenit'. — **ἤν**: ἐάν, ponavljanje u sadašnjosti; v. str. 11. b. 2. — **ἀρήγω**: pomažem, branim. — 6. **ἱκανός**: vrstan. — **συντρέφω**: pomažem hraniti. — 7. **σφοδρός**: jak. — **θήρα**: lov. — **ἐπιφιλοπονέομαί τινι**: rado se trudim oko. — **συνεπαίρω**: potičem; potiče uneke (τι) na mar za lov. — 8. **εὐπέτεια**: lako dobavljanje. — **συμπαρατρέφω**: ujedno hranim. — 9. **ὠφελέομαι**: primam korist. — 10. **ἀντωφελέω τινά**: naizmjence koristim komu; v. str. 4. b. 14. (τούς). — **ὁ κηδόμενος**: nadglednik; **κήδομαι**: brinem se. — 11. **εἰς τὴν ἐπιμέλειαν**: na nadgledanje. — **ἐξουσία**: mogućnost, prilika. — **ὀψέ**: kasno. — 12. **ἀπὸ λύμης**: od uništavanja. — **πρόβατον**: ovca. — **τῇ ἐρημίᾳ τὴν ἀσφάλειαν**: sigurnost na osami. — 13. **συμπαρέχω**: ujedno pružam. — **παρορμᾷ**: subj. καὶ ἡ γῆ; nešto potiče i zemlja ratare na to, da. — 14. **ἐν τῷ μέσῳ τρέφουσα**: jer na srijedi (kao za bojnu nagradu) rodi plodovima, da ih bere onaj, koji. — 15. **βάλλω**: gađam. — **πηδάω**: skačem. — 16. **τίς**: τέχνη παρέχεται (čini) ἱκανωτέρους δραμεῖν καί. — **γεωργίας**: gen. comparat., nego ratarstvo. — 17. **πλείω**: v. str. 8. b. 11. (τὰ ἄλλα). — **ἀντιχαρίζομαι**: naplaćujem. — **τίς**: τέχνη. — **προτείνω τινί**: pružam, nuđam. — 18. **λαβεῖν**: da uzme. — **χρῄζω**: trebam, želim. — **ξένος**: gost.

χεται; χειμάσαι δὲ πυρὶ ἀφθόνῳ καὶ θερμοῖς λουτροῖς ποῦ πλείων εὐμάρεια ἢ ἐν χώρῳ; ποῦ δὲ ἥδιον θερίσαι ὕδασί τε καὶ πνεύμασι καὶ σκιαῖς ἢ κατ' ἀγρόν; τίς δὲ ἄλλη θεοῖς ἀπαρχὰς πρεπωδεστέρας παρέχει ἢ ἑορτὰς πληρεστέρας ἀποδεικνύει; τίς δὲ οἰκέταις προσφιλεστέρα ἢ γυναικὶ ἡδίων ἢ τέκνοις ποθεινοτέρα ἢ φίλοις εὐχαριστοτέρα; ἐμοὶ μὲν θαυμαστὸν δοκεῖ εἶναι, εἴ τις ἐλεύθερος ἄνθρωπος ἢ κτῆμά τι τούτου ἥδιον κέκτηται ἢ ἐπιμέλειαν ἡδίω τινὰ ταύτης εὕρηκεν ἢ ὠφελιμωτέραν εἰς τὸν βίον. ἔτι δὲ ἡ γῆ θέλουσα τοὺς δυναμένους καταμανθάνειν καὶ δικαιοσύνην διδάσκει· τοὺς γὰρ ἄριστα θεραπεύοντας αὐτὴν πλεῖστα ἀγαθὰ ἀντιποιεῖ. ἐὰν δ' ἄρα καὶ ὑπὸ πλήθους ποτὲ στρατευμάτων τῶν ἔργων στερηθῶσιν οἱ ἐν τῇ γεωργίᾳ ἀναστρεφόμενοι καὶ σφοδρῶς καὶ ἀνδρικῶς παιδευόμενοι, οὗτοι εὖ παρεσκευασμένοι καὶ τὰς ψυχὰς καὶ τὰ σώματα, ἢν μὴ θεὸς ἀποκωλύῃ, δύνανται ἰόντες εἰς τὰς τῶν ἀποκωλυόντων λαμβάνειν, ἀφ' ὧν θρέψονται. πολλάκις δ' ἐν τῷ πολέμῳ καὶ ἀσφαλέστερόν ἐστι σὺν τοῖς ὅπλοις τὴν τροφὴν μαστεύειν ἢ σὺν τοῖς γεωργικοῖς ὀργάνοις. συμπαιδεύει δὲ καὶ εἰς τὸ ἐπαρκεῖν ἀλλήλοις ἡ γεωργία. ἐπί τε γὰρ τοὺς πολεμίους σὺν ἀνθρώποις δεῖ ἰέναι, τῆς τε γῆς σὺν ἀνθρώποις ἐστὶν ἡ ἐργασία. τὸν οὖν μέλλοντα εὖ γεωργήσειν δεῖ τοὺς ἐργαστῆρας καὶ προθύμους παρασκευάζειν καὶ

1. **χειμάζω**: prezimim, inf. zavisan o εὐμάρεια (ἐστίν). — **πυρί**: uz vatru. — **λουτρόν**: kupelj. — 2. **εὐμάρεια**: lakoća, s πλείων prevedi: lakše je. — **θερίζω**: ljetujem. — **ὕδασι**: uz vodu. — **πνεῦμα**: povjetarac. — 3. **κατ' ἀγρόν**: na selu. — **τίς δὲ ἄλλη**: τέχνη. — **ἀπαρχαί**: prvine. — **πρεπωδής**: pristao, dolīčan. — 4. **ἑορτή**: svetkovina. — **πληρής**: pun, bogat. — **ἀποδεικνύει**: ἀποδείκνυσι, priređuje. — **οἰκέτης**: rob. — **προσφιλής**: mio. — 5. **ποθεινός**: žuđen. — **εὐχάριστος**: drag. — 7. **τούτου**: τοῦ κτήματος, gen. comparat. — **ταύτης**: τῆς ἐπιμελείας. — 8. **εἰς**: za. — **θέλουσα**: drage volje. — **καταμανθάνειν**: razabirati, zavisno o δυναμένους. — 9. **καί**: također. — **θεραπεύω**: obrađujem. — 10. **αὐτήν**: γῆν. — **ἀντιποιέω**: vraćam. — 11. **στρατευμάτων**: zavisno o πλήθους, a τῶν ἔργων o στερηθῶσιν; v. str. 30. b. 16. i str. 11. b. 2. (ᾧ). — **τὰ ἔργα**: obrađena polja. — **ἀναστρέφομαι**: krećem se, bavim se. — 12. **σφοδρῶς**: snažno. — **ἀνδρικῶς**: muški. — **παρεσκευασμένος**: pripravljen, spreman. — 13. **τὰς ψυχὰς καί**: ak. obzira, dušom i tijelom. — **ἀποκωλύω**: priječim. — 14. **εἰς τὰς τῶν**: dopuni χώρας; u zemlje onih, koji im smetaju. — **ἀφ' ὧν**: ono, od čega. — **θρέψονται**: hranit će se. — 15. **μαστεύω**: tražim. — 16. **τὰ ὄργανα**: oruđe. — **συμπαιδεύω**: ujedno priučavam. — **εἰς τὸ ἐπαρκεῖν**: na to, da pomaže jedan drugomu. — 18. **τῆς γῆς ἐργασία ἐστίν**: zemlja se obrađuje. — 19. **γεωργήσειν**: v. str. 33. b. 15. — **ἐργαστήρ**: radnik, težak. — **πρόθυμος**: spreman, radin. — **παρασκευάζειν**: činiti težake i radinima i voljnima (θέλοντας) slušati.

πείθεσθαι θέλοντας· τὸν δὲ ἐπὶ πολεμίους ἄγοντα ταὐτὰ δεῖ μηχανᾶσθαι δωρούμενόν τε τοῖς ποιοῦσιν, ἃ δεῖ ποιεῖν τοὺς ἀγαθούς, καὶ κολάζοντα τοὺς ἀτακτοῦντας. καὶ παρακελεύεσθαι δὲ πολλάκις οὐδὲν ἧττον δεῖ τοῖς ἐργάταις τὸν γεωργὸν ἢ τὸν στρατηγὸν τοῖς στρατιώταις· καὶ ἐλπίδων δὲ ἀγαθῶν οὐδὲν ἧττον οἱ δοῦλοι τῶν ἐλευθέρων δέονται, ἀλλὰ καὶ μᾶλλον, ὅπως μένειν ἐθέλωσι. καλῶς δὲ κἀκεῖνος εἶπεν, ὃς ἔφη τὴν γεωργίαν τῶν ἄλλων τεχνῶν μητέρα καὶ τροφὸν εἶναι. εὖ μὲν γὰρ φερομένης τῆς γεωργίας, ἔρρωνται καὶ αἱ ἄλλαι τέχναι ἅπασαι, ὅπου δ' ἂν ἀναγκασθῇ ἡ γῆ χερσεύειν, ἀποσβέννυνται καὶ αἱ ἄλλαι τέχναι σχεδόν τι καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν."

Ἀκούσας δὲ ταῦτα ὁ Κριτόβουλος εἶπεν· „Ἀλλὰ ταῦτα μὲν ἔμοιγε, ὦ Σώκρατες, καλῶς δοκεῖς λέγειν· ὅτι δὲ τῆς γεωργικῆς τὰ πλεῖστά ἐστιν ἀνθρώπῳ ἀδύνατα προνοῆσαι, καὶ γὰρ χάλαζαι καὶ πάχναι ἐνίοτε καὶ αὐχμοὶ καὶ ὄμβροι ἐξαίσιοι καὶ ἐρυσῖβαι καὶ ἄλλα πολλάκις τὰ καλῶς ἐγνωσμένα καὶ πεποιημένα ἀφαιροῦνται· καὶ πρόβατα δ' ἐνίοτε κάλλιστα τεθραμμένα νόσος ἐλθοῦσα κάκιστα ἀπώλεσεν." — ἀκούσας δὲ ταῦτα ὁ Σωκράτης εἶπεν· „Ἀλλ' ᾤμην ἔγωγέ σε, ὦ Κριτόβουλε, εἰδέναι, ὅτι οἱ θεοὶ οὐδὲν ἧττόν εἰσι κύριοι τῶν ἐν τῇ γεωργίᾳ ἔργων ἢ τῶν ἐν τῷ πολέμῳ. καὶ τοὺς μὲν ἐν τῷ πολέμῳ ὁρᾷς, οἶμαι, πρὸ τῶν πολεμικῶν πράξεων ἐξαρεσκευομένους τοῖς θεοῖς καὶ ἐπερωτῶντας θυσίαις καὶ οἰωνοῖς, ὅ τι τε χρὴ ποιεῖν καὶ ὅ τι μή· περὶ δὲ τῶν γεωργικῶν πράξεων ἧττον οἴει δεῖν τοὺς θεοὺς ἱλάσκεσθαι; εὖ γὰρ ἴσθι," ἔφη, „ὅτι οἱ σώφρονες καὶ ὑπὲρ ὑγρῶν καὶ ξηρῶν καρπῶν καὶ βοῶν καὶ ἵππων καὶ προβάτων καὶ ὑπὲρ πάντων γε δὴ τῶν κτημάτων τοὺς θεοὺς θεραπεύουσιν."

1. ***μηχανάομαί τι***: radim oko čega. — 2. ***δωρέομαι***: darujem, nagrađujem. — 3. ***ἀτακτέω***: ne držim se reda. — ***παρακελεύομαί τινι***: potičem koga. — ***οὐδὲν ἧττον — ἤ***: baš tako — kao. — 4. ***ἐργάτης***: težak. — 5. ***τῶν ἐλευθέρων***: gen. comparat. — 6. ***μένειν***: t. j. da ne uteku gospodaru. — ***κἀκεῖνος***: καὶ ἐκεῖνος. — 7. ***ἡ τροφός***: hraniteljica. — ***εὖ φέρομαι***: napredujem. — 8. ***ὅπου δ' ἄν***: v. str. 11. b. 2. (ᾧ). — 9. ***χερσεύω***: pust sam. — ***ἀποσβέννυμαι***: trnem, ginem. — ***σχεδόν τι***: gotovo. — 12. ***ὅτι δέ***: ali ne pominješ, da. — ***τῆς γεωργικῆς***: gen. part., većinu toga u ratarstvu ne može čovjek. — 13. ***προνοέω***: vidim unaprijed. — ***χάλαζα***: tuča. — ***πάχνη***: mraz. — 14. ***ἐνίοτε***: katkad. — ***αὐχμός***: suša. — ***ὄμβρος***: kiša. — ***ἐξαίσιος***: prekomjeran. — ***ἐρυσίβη***: medljika (na žitu). — 15. ***τὰ καλῶς ἐγνωσμένα***: lijepo smišljeno i učinjeno; obj. od ἀφαιροῦνται. — 16. ***κάλλιστα***: v. str. 8. b. 11. (τὰ ἄλλα). — 18. ***κύριος***: gospodar. — 19. ***πρό***: prije. — 20. ***ἐξαρεσκεύομαί τινι***: umiljavam se; v. str. 3. b. 11. — 21. ***οἰωνοί***: ptice, promatranje ptica. — 22. ***τοὺς θεούς***: obj. od ἱλάσκεσθαι (umilostiviti). — 23. ***ὑπέρ***: radi, za. — ***ὑγρός***: vlažan, tekući. — ***ξηρός***: suh. — 25. ***θεραπεύω***: štujem.

Ispravci.

Mjesto »tovarna stoka« čitaj svuda »tovarna živina«.

Na str. 21. u b. 8. mj. »očevidno krivo radio« čitaj »očevidno o glav radio«.
» » 31. » » 1. mj. »str. 4. b. 14.« čitaj »str. 4. b. 4.«
» » 32. » » 3. mj. »ἀφαιρέομαι« čitaj »ἀφαιρέομαί.«
» » 32. » » 11. mj. »καὶ« čitaj »καί«.
» » 35. » » 19. mj. »περιγιγνομαί« čitaj »περιγίγνομαί«.
» » 40. » » 2. mj. »str. 17. b. 8.« čitaj »str. 17. b. 9.«
» » 44. » » 14. mj. »τινι« čitaj »τινί«.
» » 55. » » 8. mj. »konj. adhortativni« čitaj »zavisno o ἵνα«.
» » 87. dodaj »2. τῇ πέμπτῃ: 27. siječnja g. 400.«
» » 136. u retku 7. mj. »ἐπακρέσειεν« čitaj »ἐπαρκέσειεν«, u b. 7. mj »ἐπακρέω« čitaj »ἐπαρκέω«.

